Himer. Or. XIII, 9: *Ἀστὴρ οἶμαι σύ τις ἑσπέριος, ἀστέρων πάντων ὁ κάλλιστος· Σαπφοῦς τοῦτο δὴ τὸ εἰς Ἕσπερον ᾆσμα.* Cf. III 17: *ἐφάνης τοίνυν οὗτος ἐκεῖνος ἀστέρων πάντων ὁ κάλλιστος· σὲ γὰρ Ἀθηναῖοι καλοῦσιν Ἕσπερον.* Videtur fuisse:

Ἀστέρων πάντων ὁ κάλιστος . .

Hartung hexametrum restituit *Ἕσπερε, κάλλιστος * * ἄστρων πόλυ πάντων.* Et ad Sapphus imitationem compositum videtur quod est ibid. I 20: *Εἰ δὲ καὶ ᾠδῆς ἐδέησεν, ἔδωκα ἂν καὶ μέλος τοιόνδε· Νύμφα ῥοδέων ἐρώτων βρύουσα, Νύμφα Παφίης ἄγαλμα κάλλιστον, ἴθι πρὸς εὐνήν, ἴθι πρὸς λέχος, μείλιχα παίζουσα, γλυκεῖα νυμφίῳ· Ἕσπερός σ' ἑκοῦσαν ἄγοι, ἀργυρόθρονον ζυγίαν Ἥραν θαυμάζουσαν.* neque tamen ex inepti rhetoris periphrasi licet haec et alia id genus in integrum restituere, quamvis Westphal in Iahnii Annal. LXXXI 690 periculum fecerit:

Νύμφ' ἐρώτων ὦ ῥοδέων βρύοισα,
νύμφα κάλλιστον Παφίας ἄγαλμα,
νυμφίῳ πρόσβαθι λέχος γλύκεια,
βᾶθι πρὸς εὔναν.
μελλίχως δὲ παιξομέναν σὺν ἄνδρι
ϝέσπερός σ' ἔκοισαν ἄγοι δόμονδε·
θαυμάσειας δ' ἂν ζυγίαν θέον ἀργυ-
ρόθρονον Ἥραν.

eleganter ille quidem et ingeniose, sed ab antiquorum poetarum usu vel illud recedit, quod Venus *Paphia* nuncupatur, quod nomen Alexandrinorum demum saeculo dea illa ascivit.

134. [125.]

Schol. Apoll. Rhod. IV 57: *Περὶ δὲ τοῦ τῆς Σελήνης ἔρωτος ἱστοροῦσι Σαπφὼ καὶ Νίκανδρος ἐν δευτέρῳ Εὐρώπης· λέγεται δὲ*

κατέρχεσθαι εἰς τοῦτο τὸ ἄντρον (Λάτμιον) τὴν Σελήνην πρὸς Ἐνδυμίωνα. Cf. Eudoc. 148.

135. [126.]

Schol. Hesiod. Op. et D. 74: *Σαπφὼ δέ φησι τὴν Πειθὼ Ἀφροδίτης θυγατέρα.* cf. fr. 141.

136. [28.]

Maxim. Tyr. XXIV 9: *Ἀνθάπτεται Σωκράτης τῇ Ξανθίππῃ ὀδυρομένῃ, ὅτι ἀπέθνησκεν, ἡ δὲ Σαπφὼ τῇ θυγατρί· οὐ γὰρ θέμις ἐν μουσοπόλων οἰκίᾳ θρῆνον εἶναι· οὐκ ἄμμι πρέπει τάδε.* (Dübner *πρέποι.*) Neue coniecit:

Ἀλλ' οὐ γὰρ θέμις ἐν μοισοπόλῳ οἰκίᾳ
θρῆνον ἔμμεναι· οὐκ ἄμμι πρέπει τάδε.

Ahrens: *Οὐ γὰρ οἰκίᾳ ἐν μοισοπόλων θέμις κτλ.* Hartung *ἐν μοισοπόλων δόμῳ.*

137. [10.]

Arist. Rhet. II 23: *ἢ ὥσπερ Σαπφώ, ὅτι τὸ ἀποθνήσκειν κακόν· οἱ θεοὶ γὰρ οὕτω κεκρίκασιν· ἀπέθνησκον γὰρ ἄν.* Similia Gregor. in Hermog. VII 1153 ed. Walz: *οἷόν φησιν ἡ Σαπφώ, ὅτι τὸ ἀποθνήσκειν κακόν· οἱ θεοὶ γὰρ οὕτω κεκρίκασιν· ἀπέθνησκον γὰρ ἄν, εἴπερ ἦν καλὸν τὸ ἀποθνήσκειν.* Haec in tetrametros ionicos redegit Hermann: *Ἀποθνάσκειν κακόν, οἱ θεοὶ γὰρ οὕτω κεκρίκασιν· Ἀπέθνασκον γὰρ ἄν, αἴπερ ἦν καλὸν (δή μ') ἀποθνάσκειν.* Contra Ahrens haec Sapphus esse putat: ... *Ἀπυθναίσκην κάκον· οἱ θέοι γὰρ | Τοῦτο κεκρίκαισ'· ἀπὺ γάρ κ' ἔθναισκον.* Hartung *Τὸ θνάσκειν κακόν· οὕτω κεκρίκασι θεοί· | ἔθνασκον γὰρ ἂν εἴπερ κάλον ἦν τόδε.* Atque sane videtur ad idem carmen pertinere, unde est fr. 136. Hoc carmen, quod Sappho filiae misit, monens ne se mortuam defleret, fortasse Solon egregio praeconio ornavit, vid. Aelianus ap. Stob. XXIX 58: *Σόλων ὁ Ἀθηναῖος Ἐξηκεστίδου παρὰ πότον τοῦ ἀδελφιδοῦ αὐτοῦ μέλος τι Σαπφοῦς ᾄσαντος, ἥσθη τῷ μέλει καὶ προσέταξε τῷ μειρακίῳ διδάξαι αὐτόν· ἐρωτήσαντος δέ τινος διὰ ποίαν αἰτίαν τοῦτο ἐσπούδασεν, ὁ δὲ ἔφη, ἵνα μαθὼν αὐτὸ ἀποθάνω.* unde detorta videtur narratio, quae legitur ap. Valer. Max. VIII 7, 14.

138.

Athen. XIII 596 B: *ἐνδόξους δὲ ἑταίρας καὶ ἐπὶ κάλλει διαφερούσας ἤνεγκε καὶ ἡ Ναύκρατις· Δωρίχαν τε, ἣν ἡ καλὴ Σαπφὼ ἐρωμένην γενομένην Χαράξου τοῦ ἀδελφοῦ αὐτῆς, κατ' ἐμπορίαν εἰς τὴν Ναύκρατιν ἀπαίροντος, διὰ τῆς ποιήσεως διαβάλλει, ὡς*

πολλὰ τοῦ Χαράξου νοσφισαμένην. Ἡρόδοτος δ' αὐτὴν Ῥοδῶπιν καλεῖ, ἀγνοῶν ὅτι ἑτέρα τῆς Δωρίχης ἐστὶν αὕτη, ἡ καὶ τοὺς περιβοήτους ὀβελίσκους ἀναθεῖσα ἐν Δελφοῖς. vid. Herod. II 135: *Ῥοδῶπις δὲ ἐς Αἴγυπτον ἀπίκετο, Ξάνθεω τοῦ Σαμίου κομίσαντός μιν· ἀπικομένη δὲ κατ' ἐργασίην ἐλύθη χρημάτων μεγάλων ὑπὸ ἀνδρὸς Μυτιληναίου Χαράξου, τοῦ Σκαμανδρωνύμου παιδός, ἀδελφεοῦ δὲ Σαπφοῦς τῆς μουσοποιοῦ. ... Χάραξος δέ, ὡς λυσάμενος Ῥοδῶπιν ἀπενόστησε ἐς Μυτιλήνην, ἐν μέλεϊ Σαπφὼ πολλὰ κατεκερτόμησέ μιν.* Strabo XVII 808: *Λέγεται δὲ τῆς ἑταίρας τάφος γεγονὼς ὑπὸ τῶν ἐραστῶν, ἣν Σαπφὼ μὲν ἡ τῶν μελῶν ποιήτρια καλεῖ Δωρίχαν, ἐρωμένην τοῦ ἀδελφοῦ αὐτῆς Χαράξου γεγονυῖαν, οἶνον κατάγοντος εἰς Ναύκρατιν Λέσβιον κατ' ἐμπορίαν, ἄλλοι δ' ὀνομάζουσι Ῥοδῶπιν.* Adde Ovid. Heroid. XV 63 et 117. Cf. etiam Phot. et Suid. v. *Ῥοδώπιδος ἀνάθημα.* Appendix Prov. IV 51: *Πάνθ' ὅμοια καὶ Ῥοδῶπις ἡ καλή· ἡ Ῥοδῶπις ἑταίρα ἦν περὶ Ναύκρατιν τῆς Αἰγύπτου,* 698
ἧς καὶ Σαπφὼ μνημονεύει καὶ Ἡρόδοτος. ib. interpr.

139.

Athen. X 424 F: *Σαπφώ τε ἡ καλὴ πολλαχοῦ Λάριχον τὸν ἀδελφὸν ἐπαινεῖ ὡς οἰνοχοοῦντα ἐν τῷ πρυτανείῳ τοῖς Μυτιληναίοις.* Cf. Eudoc. 96. Eust. Il. 1205, 19. Schol. Il. *υ* 234: *ἔθος γὰρ ἦν, ὡς καὶ Σαπφώ φησι, νέους εὐγενεῖς εὐπρεπεῖς οἰνοχοεῖν.*

140.

Palaephat. de Incredib. c. 49: *Τῷ Φάωνι βίος ἦν περὶ πλοῖον εἶναι καὶ θάλασσαν· πορθμὸς ἦν θάλασσα· ἔγκλημα δὲ οὐδὲν παρ' οὐδενὸς ἐνομίζετο, ἐπεὶ καὶ μέτριος ἦν καὶ παρὰ τῶν ἐχόντων μόνον ἐδέχετο· θαῦμα ἦν τοῦ τρόπου παρὰ τοῖς Λεσβίοις· ἐπαινεῖ τὸν ἄνθρωπον ἡ θεὸς (Ἀφροδίτην λέγουσι τὴν θεὸν) καὶ ὑποδῦσα θέαν ἀνθρώπου γυναικὸς ἤδη γεγηρακυίας τῷ Φάωνι διαλέγεται περὶ πλοῦ· ταχὺς ἦν ἐκεῖνος καὶ θεραπεῦσαι καὶ διακομίσαι καὶ μηδὲν ἀπαιτῆσαι. τί οὖν ἐπὶ τούτοις ἡ θεός; ἀμεῖψαί φασι τὸν ἄνθρωπον καὶ ἀμείβεται νεότητι καὶ κάλλει τὸν γέροντα. οὗτος ὁ Φάων ἐστίν, ἐφ' ᾧ τὸν ἔρωτα αὐτῆς ἡ Σαπφὼ πολλάκις ᾆσμα* (*ἆσμα* c, *αἷμα* reliqui) *ἐποίησεν.* Hinc repetunt eadem Eudoc. 414. Apostol. XX 15. Arsen. 461. Adde Ovid. Heroid. XV. Cf. inprimis Welcker Opusc. II 110 seqq. et Mus. Rhen. XVIII 241 seqq. Fortasse huc pertinet fr. 29.

141.

Philodemus *περὶ εὐσεβείας* p. 42 ed. Gomperz (Vol. Herc. coll. nova II 91): *(Σαπ)φῶ δὲ τὴ(ν Πειθὼ) χρυσοφαῆ θερ(άπαιν)αν Ἀφροδείτ(ης).* ita locus redintegrandus videtur, neque adversatur fr. 135, vide quae fr. 132 adscripsi; Gomperz *τὴν αὐτὴν* scripsit, ut ad Hecaten referatur, de qua antea dixit philosophus. Videtur versus integer servatus:

Χρυσοφάη θεράπαιναν Ἀφροδίτας.

ut sit pentapodia logaoedica, quamvis talis versiculus alibi non legatur in Sapphus reliquiis.

142. [131.]

Pausan. VIII 18, 5: *Καίτοι καθαρεύειν γε τὸν χρυσὸν ὑπὸ τοῦ ἰοῦ ἥ τε ποιήτρια μάρτυς ἐστὶν ἡ Λεσβία, καὶ αὐτὸς ὁ χρυσὸς ἐπιδείκνυσιν.* Schol. Pind. Pyth. IV 407: *ὁ δὲ χρυσὸς ἄφθαρτος· καὶ ἡ Σαπφώ, ὅτι Διὸς παῖς ὁ χρυσός, κεῖνον ου σῆς οὐδὲ κὶς δάπτει, βροτέαν φρένα κράτιστον φρενῶν.* Sapphus versus interciderunt, nam quod continuo subiicitur, Pindari est fragmentum 207.

143.

Gellius XX 7: „Nam Homerus pueros puellasque eius (Niobae) bis senos dicit fuisse, Euripides bis septenos, Sappho bis novenos, Bacchylides et Pindarus bis denos." Haud dubie in eo carmine, ex quo est fr. 31.

144. [129.]

Serv. Virgil. Aen. VI 21: „Quidam septem pueros et septem puellas accipi volunt, quod et Plato dicit in Phaedone et Sappho in
Lyricis et Bacchylides in dithyrambis et Euripides in Hercule, quos 699
liberavit secum Theseus."

145. [130.]

Serv. Virgil. Ecl. VI 42: „Prometheus Iapeti et Clymenes filius post factos a se homines dicitur auxilio Minervae coelum ascendisse, et adhibita facula (fort. *ferula*) ad rotam solis ignem furatus, quem hominibus indicavit (fort. quem *cum* hominibus *communicavit*). Ob quam causam irati dii duo mala immiserunt terris, febres et morbos (hoc aperte corruptum, aut *feminas* et morbos, aut febres et *mulieres* scribendum), sicut et Sappho et Hesiodus memorant."

146. [132.]

Philostr. Epist. 71: *Ἡ Σαπφὼ τοῦ ῥόδου ἐρᾷ, καὶ στεφανοῖ αὐτὸ ἀεί τινι ἐγκωμίῳ, τὰς καλὰς τῶν παρθένων ἐκείνῳ ὁμοιοῦσα.* Cf. ad fr. 65.

147. [134.]

Himer. Or. XIII 7: *Τὰ δὲ σὰ νῦν δέον καὶ αὐτῷ τῷ Μουσηγέτῃ εἰκάζεσθαι, οἷον αὐτὸν καὶ Σαπφὼ καὶ Πίνδαρος ἐν ᾠδῇ κόμῃ*

τε χρυσῇ καὶ λύραις κοσμήσαντες, κύκνοις ἔποχον εἰς Ἑλικῶνα πέμπουσιν, Μούσαις Χάρισί τε ὁμοῦ συγχορεύσαντα, ἢ οἷον τὸν Βακχειώτην (οὕτω γὰρ αὐτὸν ἡ λύρα καλεῖ, τὸν Διόνυσον λέγουσα), ἦρος ἄρτι τὸ πρῶτον ἐκλάμψαντος, ἄνθεσί τ' ἠρινοῖσι καὶ κισσοῦ κορύμβοις Μούσαις κάτοχοι ποιηταὶ στέψαντες, νῦν μὲν ἐπ' ἄκρας κορυφὰς Καυκάσου, καὶ Λυδίας τέμπη, νῦν δὲ ἐπὶ Παρνασοῦ σκοπέλους καὶ Δελφίδα πέτραν ἄγουσι, πηδῶντά τε αὐτὸν καὶ ταῖς Βάκχαις ἐνδιδόντα τὸν εὔϊον κτλ.

148.

Eustath. Opusc. 345, 54: *Φιλία τις δηλαδὴ πολυρέμβαστος καὶ καλὸν δοκοῦσα, εἴποι ἂν ἡ Σαπφώ, δημόσιον (δαμόσιον)·* quod videtur dixisse in Rhodopin vid. fr. 138.

149. [103.]

Bekk. An. I 370, 14: *Ἄκακος, ὁ κακοῦ μὴ πεπειραμένος, οὐχ ὁ χρηστοήθης. οὕτω Σαπφώ.*

150. [112.]

Etym. M. 77, 1: *Ἀμαμαξύς, ἡ ἀναδενδράς ... Σαπφὼ διὰ τοῦ Δ ἀμαμάξυδες λέγει.* Choerob. I 357 (Bekk. An. III 1317) *τὸ γὰρ παρὰ Σαπφοῖ ἀμαμαξύδος παράλογόν ἐστιν.* cf. Suid. v. *Ἀμάμυξις* et *Ἀναδενδράδα.*

151. [118.]

Etym. M. 77, 13: *Ἀμάρα· ... παρὰ τὸ τῇ ἄμῃ αἵρεσθαι, ἄμη δέ ἐστιν ἐργαλεῖον οἰκοδομικόν.* quo verbo Sappho videtur usa esse, vid. Orion. 3, 12: *ἀμάρα* (v. *Ὅμηρος*) *παρὰ τὸ τῇ ἄμῃ* (*ἄνευ*) *αἵρεσθαι καὶ ὀρύττεσθαι· οὕτως ἐν ὑπομνήματι Σαπφοῦς.*

152. [114.] 700

Apollon. de adv. Bekk. An. II 596, 14: *Ὃν τρόπον καὶ ἐπ' ὀνομάτων μεταπλασμοὶ γίνονται, καθάπερ τὸ ἐρυσάρματες, τὸ λῖτα, παρὰ Σαπφοῖ τὸ αυα* (scr. *αὔα.*) Cf. Etym. M. 174, 38: *εἴρηται παρὰ τὴν αὔαν Αἰολικῶς τὴν ἡμέραν· τὴν γὰρ ἠῶ οἱ Αἰολεῖς αὔον φασί* (ubi V et Gud. *αὔαν*, D *αὔαν*) et Gudian. 95, 21. Lobeck Paral. 179 *αὐόαν* coniecit.

153. [109.]

Etym. M. 174, 42: *Αὔως ἡ ἠώς, τουτέστιν ἡ ἡμέρα· οὕτω λέγεται παρὰ τοῖς Αἰολεῦσι· Σαπφώ· πότνια αὔως.*

154.

Athen. IV 182 F: Τὸν γὰρ βάρωμον καὶ σάρβιτον, ὧν Σαπφὼ καὶ Ἀνακρέων μνημονεύουσι, καὶ τὴν μάγαδιν καὶ τὰ τρίγωνα καὶ τὰς σαμβύκας ἀρχαῖα εἶναι. Rectius infra XIV 636 C: βάρμος dici videtur.

155. [101.]

Pollux VII 49: βεῦδος, ὡς Σαπφώ, κιμβερικόν, ἔστι δὲ τὸ κιμβερικὸν διαφανής τις χιτωνίσκος. fort. hoc quoque Sappho dixit.

156. [102.]

Phrynich. Bekk. An. I 33, 2: Σαπφὼ δὲ γρύτην καλεῖ τὴν μύρων καὶ γυναικείων τινῶν θήκην.

157. [107.]

Hesych. Ἕκτορες· πάσσαλοι ἐν ῥυμῷ, Σαπφὼ δὲ τὸν Δία, Λεωνίδης τὸν κροκύφαντον.

158.

Cram. An. Ox. IV 325, 27: Καὶ ἀνάπαλιν παρὰ τοῖς Αἰολεῦσιν ἀντὶ τοῦ δ ζ παραλαμβάνεται, ὡς ὅταν τὸ διάβατον ἡ Σαπφὼ ζάβατον λέγει. (λέγῃ).

159. [117.]

Schol. Hom. Il. ξ 241: Τῷ δὲ χαρακτῆρι γενόμενον ὅμοιον τῷ ἰοίην καὶ ἀγαγοίην παρὰ Σαπφοῖ καὶ τῷ πεπαγοίην παρὰ Εὐπόλιδι, εἰκότως ἐβαρυτονήθη τὸ ἐπισχοίης.

160. [99.]

Eust. Il. 603, 30: Λέγει (ὁ γραμματικὸς Ἀριστοφάνης) καὶ ὅτι τὸ συνεστραμμένον πνεῦμα καὶ καταράσσον ἄνεμον κατάρη λέγουσιν ὁ Ἀλκαῖος καὶ ἡ Σαπφώ, διὰ τὸ κατωφερῆ ὁρμὴν ἔχειν. Lobeck confert Hesych. κατώρης· κάτω ῥέπων. Nauck hoc ipsum restitui voluit supra fr. 42 v. 2.

161. [115.] 701

Choerob. I 282. (Bekk. An. T. III 1389): Κίνδυν, κίνδυνος, οὕτω δὲ ἔφη Σαπφὼ τὸν κίνδυνον. Cod. Marc. κίνδυνα, ὡς καὶ Σαπφὼ ἔφη τὸν κίνδυνα.

162. [121.]

Ioann. Alex. p. 4: Ἡ ὀξεῖα ἢ ἐν τέλει τίθεται ἢ πρὸ μιᾶς τοῦ τέλους ἢ πρὸ δύο, πρὸ τριῶν δ' οὐκέτι· τὸ γὰρ Μήδεϊα παρὰ Σαπφοῖ πεπονθὸς παραιτούμεθα, ὅτι τὴν ει δίφθογγον διεῖλεν.

163. [18.]

Antiatt. Bekk. An. I 108, 22: Μύρραν τὴν σμύρναν, Σαπφω δευτέρῳ.

164.

Cram. An. Ox. I 278, 17: Καὶ ἡ γενικὴ τῶν πληθυντικῶν Μωσάων παρὰ Λάκωσι, παρὰ δὲ Σαπφοῖ Μοισάων.

165. [104.]

Phrynich. 305: Νίτρον· τοῦτο Αἰολεὺς μὲν ἂν εἴποι, ὥσπερ οὖν καὶ ἡ Σαπφὼ διὰ τοῦ ν, Ἀθηναῖος δὲ διὰ τοῦ λ, λίτρον.

166. [111.]

Sch. Hom. Il. γ 219: Ὥστε ἐκ τοῦ ἐναντίου ἁμάρτημα τὸ παρὰ τῇ Σαπφοῖ τὸ πολυΐδριδι, εἰ μὴ ἄρα ὁμοίως τοῖς Ἀττικοῖς ἐκλίθη. Cf. Et. M. 42, 40. Eust. 407, 38.

167. [108.]

Phot. 81, 12: Θάψος· ξύλον, ᾧ ξανθίζουσι τὰ ἔρια καὶ τὰς τρίχας, ὃ Σαπφὼ Σκυθικὸν ξύλον λέγει. Cf. Hesych.: Σκυθικὸν ξύλον· τὴν διάπυρον. ἔνιοι τὴν θαψίαν. idem: Θάψινον· τὸ ξανθόν, ἀπὸ τοῦ ξύλου, τῆς θάψου, ᾧ ξανθίζουσι τὰ ἔρια καὶ τὰς κεφαλάς· τοῦτό τινες Σκυθικὸν λέγουσι· καὶ ὁ ποταμός, παρ' ᾧ φύεται τὸ ξύλον, Θάψος καλεῖται· ἔστι δὲ καὶ ῥίζα θαψία καλουμένη. Adde Schol. Theocriti II 88: θάψος γάρ ἐστι ξύλον τι, ὃ καλεῖται καὶ σκυθάριον ἢ Σκυθικὸν ξύλον, ὥς φησι καὶ Σαπφὼ (9 σαμφώ, EP παμφώ)· τούτῳ δὲ τὰ ἔρια βάπτουσι καὶ ποιοῦσι μήλινα (μήλλινα 4^1 5^1, μάλλινα 4^2 5^2 Gen. b, μάλινα P), καὶ τὰς τρίχας ξανθίζουσιν· ἔστι δὲ τὸ παρ' ἡμῖν λεγόμενον χρυσόξυλον. ubi Ahrens perperam Sapphus versus sibi deprehendisse videtur, quos in addendis ita conformavit: _ ⌣ _ Σκύθικον ξύλον, | τῷ βάπτοισί τε τῆρια | ποΐεισι δὲ μάλινα, | ξανθίσδοισί τε τὰς τρίχας.

168. [113.]

Etym. M. 759, 35: Οἱ μέντοι Αἰολεῖς φασι· Τίοισιν ὀφθάλμοισιν, ὡς παρὰ Σαπφοῖ. Cf. Choerob. Epim. I 184 et 185, in

Psalm. 65 et Apollon. de Synt. p. 106. Praeterea Hesychius praebet ὀτίοισιν, οἷς τισιν, quod item ex Aeolico poeta petitum.

169.

Orion 28, 15: Ὡς παρὰ Σαπφοῖ χελώνη χελύνη. scr. χελύνα vel potius χέλυννα, nam Theognostus Cram. An. Ox. II 101 componit cum ἄμυννα, Ἔρχυννα similibus, et apud Babrium 115, 4 est πόσον χέλυννα (cod. χέλυμνα, Lachmann χέλυννα) μισθὸν αἰετῷ δώσεις et syll. II 68, 7: χέλυν' ἐπηρώτησεν.

170. [100.]

Pollux VI 98: Μεσόμφαλοι δὲ φιάλαι καὶ βαλανειόμφαλοι τὸ σχῆμα προσηγορίαν ἔχουσιν, χρυσόμφαλοι δὲ τὴν ὕλην, ὡς αἱ Σαπφοῦς χρυσαστράγαλοι.

Sapphoni olim adscripsi quod Pausanias I 29, 2 memoriae prodidit: Κατιοῦσι δ' ἐς αὐτὴν (Ἀκαδήμειαν) περίβολός ἐστιν Ἀρτέμιδος καὶ ξόανα Ἀρίστης καὶ Καλλίστης, ὡς μὲν ἐγὼ δοκῶ καὶ ὁμολογεῖ τὰ ἔπη τὰ Σαπφοῦς, τῆς Ἀρτέμιδός εἰσιν ἐπικλήσεις αὗται· λεγόμενον δὲ καὶ ἄλλον ἐς αὐτὰς λόγον εἰδὼς ὑπερβήσομαι. quin usus sum hoc testimonio ad restituendum epigramma Sapphus fr. 118 v. 3, ubi Αἰθοπίᾳ με κόρᾳ Λατοῦς ἀνέθηκεν ἀρίστᾳ Ἑρμῶ καλλίστᾳ partim Neuio praeeunte scripsi. At recte Hecker, cui etiam Welcker Mythol. I 581 assensus est, in Pausania Sapphus nomen sustulit, ἔπη τὰ Πάμφω corrigens: cf. Pausan. VIII 35, 8: ἐπὶ δὲ ἄκρῳ τῷ χώματι ἱερόν ἐστιν Ἀρτέμιδος ἐπίκλησιν καλλίστης· δοκεῖν δέ μοι καὶ Πάμφως μαθών τι παρὰ Ἀρκάδων πρῶτος Ἄρτεμιν ἐν τοῖς ἔπεσιν 702 ὠνόμασε Καλλίστην. — Fragmentis eximendum quod habet Suid. v. Ἀηδὼν καὶ ἀηδοῦς, ως Σαπφώ, κατὰ Μιτυληναίους. nam hoc dicere voluit, praeter ἀηδών, ἀηδόνος dictum etiam esse ἀηδώ, ἀηδοῦς, ut Σαπφώ, Σαπφοῦς, et schol. Soph. Ai. v. 628 nihil nisi ἡ ἀηδὼ δὲ κατὰ Μιτυληναίους. — Sapphus carmen, quod latina lingua conversum exhibet Comes Natalis Mythol. p. 535 fictum est. — De Scolio in Admetum, quod nonnulli grammatici Sapphoni tribuerunt, vid. Praxillae fr. 3. — Denique addo, quod Photius Bibl. 161, ubi fontes *Sopatri* διαφόρων ἐκλογῶν recenset, de libro II dicit: καὶ μὴν καὶ ἐξ ἄλλων διαφόρων, ἀλλά γε καὶ ἀπὸ ὀγδόου λόγου τῆς Σαπφοῦς. ut nihil praetermittatur.

VII.

ERINNA.

De Erinnae aetate satis difficilis est lis: nam Suidas et Eustathius Sapphus amicam et aequalem fuisse tradunt, quae memoria nulli iam dubitationi foret obnoxia, si certum esset Erinnam a Sapphone esse commemoratam, vide quae dixi ad Sapph. fr. 77. At Eusebius poetriam circa Ol. CVI 3 inclaruisse auctor est; haec igitur nullo pacto inter se possunt conciliari. Iam Tatianus adv. Gr. 51 auctor est a Naucyde poetriae statuam esse factam, qui quidem secundum Plinium circa Ol. XCV clarus fuit, aetate ille quidem tunc iam provectior, ut videtur: igitur hic fictor non potuit virginis, quae XLVII annis post vixit, signum facere; id quod iam Welcker (Opusc. II 149) rectissimo iudicio usus intellexit: tamen Benndorf (de Anthol. gr. epigr. p. 8) ea qua solet temeritate adversatur, qui levissimis usus argumentis Erinnam claram poetriam Alexandri magni aetate (Philippi Macedonis certe dicere debebat) vixisse contendit; velut ex Propertio II 2, 21, qui post Corinnam creditur Erinnam nominavisse, colligit, Erinnam Corinna fuisse natu minorem, ut mirer Benndorfium non usum esse Meleagri disticho, ut Erinnam Rhiani aequalem fuisse argueret: atque Propertianus ille versus tam foede corruptus est, ut omnino sit dubium, an recte Erinnae nomen ibi sit restitutum. Quare cum constet iam circa Ol. XCV Erinnam statuae honore decoratam fuisse, si hac in re Eusebio fides est habenda, necesse est statuamus duas eiusdem nominis poetrias fuisse, claram maiorem, quam Eusebius prorsus silentio praetermisit, alteram ignobilem, quam solus chronographus memorat, cuius memoria penitus est exstincta; nam reliquorum testimonia omnia spectant eam Erinnam, quae musicae artis laude inclaruit, neque possunt ad diversas poetrias revocari. Eam autem, quae nobile nomen nacta est, maiorem fuisse Naucydis statua testificatur. Haec Erinna, cum praematura morte extincta sit, unum tantum poematium versuum CCC, quod Ἀλακάτα fuit inscriptum, reliquit, quod et poetae et grammatici Alexandrini tamquam venustissimum et omnibus numeris absolutum praeclaris laudibus extulerunt, quamquam fuerunt, qui hoc carmen poetriae abiudicarent, vide fr. 1. Quoniam heroicis versibus erat conditum, Suidas Erinnam ἐποποιὸν appellat, sed poematium illud a lyricae poesis virtute haud procul abfuisse consentaneum est. Praeterea Erinna etiam epigrammata composuit, quae Meleager in

suam coronam recepit (IV 1, 12), hinc tria etiamnunc in Anthologia Palatina extant. Quamquam autem epigrammatum antiquiorum auctores plerumque incerti, duo tamen haud dubie Erinnae sunt: nam ipsa nomen suum professa est in secundo epigrammate (5, v. 8), cum hoc autem epigrammate arctissima necessitate est tertium coniunctum (6). Iam quoniam haec epigrammata quamvis venusta tamen ab antiquitatis simplicitate aliquantum recedere videntur, fortasse aliquis existimet, colum maioris, epigrammata minoris Erinnae esse: verum hanc coniecturam satis superque redarguit sive Leonidae sive Meleagri auctoritas Anth. Pal. VII 13:

Παρθενικὴν νεαοιδὸν ἐν ὑμνοπόλοισι μέλισσαν
Ἤρινναν, Μουσῶν ἄνθεα δρεπτομέναν,
Ἅιδας εἰς ὑμέναιον ἀνάρπασεν· ἦ ῥα τόδ' ἔμφρων
εἶπ' ἐτύμως ἁ παῖς· „βάσκανος ἔσσ' Ἀΐδα."

Igitur illa virgo, quae summam musicae artis laudem consecuta praematura morte extincta est, etiam epigrammata ista condidit: nam novissima verba depromta sunt ex epigr. 6, 3. Sapphus illam amicam et aequalem fuisse neque negare, neque affirmare audeo: certe Erinnae reliquiae quae supersunt haud quaquam produnt Sapphicae poesis studium: neque aeolico, sed dorico sermone usa est Erinna, itaque non est verisimile eam in insula Lesbo natam vel certe commoratam esse: nam de patria quoque iam inter veteres grammaticos fuit lis: qui Lesbiam dicunt; videntur hoc hariolati esse, quoniam animadvertebant Erinnam propter carminum venustatem cum Sapphone componi.

Η Λ Α Κ Α Τ Η.

1.

Πομπίλε, ναύταισιν πέμπων πλόον εὔπλοον ἰχθύ,
πομπεύσαις πρύμναθεν ἐμὰν ἀδεῖαν ἑταίραν.

2.

Πανρολόγοι πολιαί, ταὶ γήραος ἄνθεα θνατοῖς.

Erinna. Fr. 1. Athen. VII 283 D: *Μνημονεύει τῶν πομπίλων καὶ Τιμαχίδας ... Ἤριννά τε* (sic A, *κρίνα* B, *κορίννα* PVL, hoc vel *κρίννα* DQ), *ἢ ὁ πεποιηκὼς τὸ εἰς αὐτὴν ἀναφερόμενον ποιημάτιον· Πομπίλε κτλ.* Welcker non recte hos versus ad epigramma aliquod refert. — V. 1. *ναύταισι*, v. *ναύτῃσι*. — *ἰχθύ* Dindorf, v. *ἰχθῦς*, AB *ἰχθῦν*. — V. 2. *πομπεύσαις* Stephanus, v. *πομπεύσας*.

Fr. 2. Stob. Flor. CXV 13: *Ἱπποθόου*, quod ortum ex n. 14: *Ἱπποθόωντος*. Voss. *Εἰρήνης*, unde Meineke (Poet. Com. IV p. 712) *Ἠρίννης*. — *πολιαί, ταὶ γήραος* Voss., v. *πολιοὶ τὰς γήρας*, Meineke *πολιαὶ τῶ γήραος*.

3.

Τοὔνεκεν εἰς Ἀΐδαν κενεὰ διανήχεται ἀχώ,
σιγᾷ δ' ἐν νεκύεσσι· τὸ δὲ σκότος ὄσσε κατέρρει.

ΕΠΙΓΡΑΜΜΑΤΑ. 703

4.

Ἐξ ἀταλᾶν χειρῶν τάδε γράμματα· λῷστε Προμαθεῦ,
ἔντι καὶ ἄνθρωποι τὶν ὁμαλοὶ σοφίαν·
ταύταν γῶν ἐτύμως τὰν παρθένον ὅστις ἔγραψεν,
αἰ καὐδὰν ποτέθηκ', ἦς κ' Ἀγαθαρχὶς ὅλα.

5.

Στᾶλαι καὶ Σειρῆνες ἐμαὶ καὶ πένθιμε κρωσσέ,

Fr. 3. Stob. Flor. CXVIII 4: *Εἰρήνης.* ita codd., Meineke *Ἠρίννης.* — V. 1. *τοὔνεκεν* scripsi, legebatur *τοῦτό κεν*, Hecker *τουτάκις*, Meineke coniecit *τούτῳ κῆς· . . διανίσσεται.* — V. 2. *σιγᾷ* Ursin., Vind. *σιγαῖ*, v. *σιγά.* — *κατέρρει*, fort. *καταγρεῖ*, Hecker *ὄκα σκότος ὄσσε καταρρεῖ.* Fortasse autem continuo subiungendum quod sequitur *Simonidis* fragmentum (ita A, in Trincav. deest lemma), quod sic scribendum:

πάντα γὰρ ἐς μίαν ἱκνεῖται δασπλῆτα χάρυβδιν
αἱ μεγάλαι τ' ἀρεταὶ καὶ ὁ πλοῦτος.

Fr. 4. Epigrammata. Anth. Pal. VI 352 a pr. m. *Ἠρίννης.* — V. 1. *ἐξ ἀταλᾶν*, cod. P *δέξατάλαν*, sed ex correctione, nam fuit antea *ἐξατάλαν*, Plan. *ἐξ ἀπαλῶν*, Weiske *ἐξ ἀπαλᾶν*, Iacobs *δέξ' ἀταλᾶν*, Hecker *δεῖγμ' ἀπαλᾶν χειρῶν τάδε γράμματα λῷστα, Προμαθεῦ, ὅττι καὶ ἄνθρωποι*, Dilthey *δέρξ' ἀταλᾶν*, quae mera est barbaries, sed hoc ipso nomine Benndorfio probatur. — *γράμματα· λῷστε Προμαθεῦ, ἔντι* distinxit B. G. Weiske (Prometheus p. 500), legebatur *γράμματα, λῷστε Προμαθεῦ· ἔντι.* — *Προμαθεῦ*, Plan. *Προμηθεῦ*, idem v. 2 *ἐντί.* — V. 2. *τὶν ὁμαλοὶ*, cod. P *τινομαλοί*, Iacobs traiecit *τὶν σοφίαν ὁμαλοί.* — V. 3. *γῶν* scripsi, legebatur *γοῦν.* — V. 4. *αἰ καὐδὰν* scripsi, atque idem proposuit Weiske, legebatur *αἴκ' αὐγὰν*, sed iam Ursinus vidit *αὐδὰν* restituendum esse. — *ἦσ κ'* cod. P, qui deinde *ἀγαθάρχις ὅλα*, Plan. *ἧς.* Ceterum haec quae Erinna de Prometheo humani generis auctore significat, componi possunt cum Sapphus fr. 145.

Fr. 5. Anth. Pal. VII 710 a m. s. *Ἠρίννης Μιτυληναίας*, a m. pr. *εἰς βρυκίδα (Βαυκίδα) τὴν Μιτυληναίαν, Ἠρίννης δὲ συνεταιρίδα.* P
Lemmati praemissum CωM i. e. *σημείωσαι ὡραῖον.* Cum hoc epigrammate arctissima necessitudine coniunctum proximum, quamquam in Anth. Pal. diremtum est interposito Antipatri epigrammate. Utrumque enim carmen ad unum Baucidis sepulcrum pertinet. Binis tabulis impositae erant Sirenes, iuxta adstabat hydria: itaque etiam

ὅστις ἔχεις Ἀΐδα τὰν ὀλίγαν σποδίαν,
τοῖς ἐμὸν ἐρχομένοισι παρ' ἠρίον εἴπατε χαίρειν,
αἴτ' ἀστοὶ τελέθωντ', αἴθ' ἑτεροπτόλιες·
χὤτι με νύμφαν εὖσαν ἔχει τάφος, εἴπατε καὶ τό·
χὤτι πατήρ μ' ἐκάλει Βαυκίδα, χὤτι γένος
Τηνία, ὡς εἰδῶντι· καὶ ὅττι μοι ἁ συνεταιρίς
Ἤρινν' ἐν τύμβῳ γράμμ' ἐχάραξε τόδε.

6.

Νύμφας Βαυκίδος εἰμί· πολυκλαύταν δὲ παρέρπων
στάλαν, τῷ κατὰ γᾶς τοῦτο λέγοις Ἀΐδᾳ·

in utraque tabula epigramma fuit inscriptum. Morem satis illustrat Mnasalcae epigramma Anth. P. VII 491: *αἰαῖ παρθενίας ὀλοόφρονος, ἅς ἄπο φαιδρὰν ἔκλασας ἁλικίαν, ἱμερόεσσα Κλεοῖ, κάδδέ σ' ἀμυξάμεναι περὶ δάκρυσιν αἴδ' ἐπὶ τύμβῳ λᾶες Σειρήνων ἕσταμες εἰδάλιμοι.* Urnam tabulae additam testatur titulus ap. Curtium Inscr. Att. n. IX: *Ἐνιάλου θυγατρὸς Σπουδίδου κέραμος στήλη.* Apparet igitur non recte Schneidewinum *στάλα* pro *στᾶλαι* v. 1 proposuisse. Item ego non recte olim alterum epigramma Erinnae abiudicavi, ratus postea ab alio ad exemplum huius epigrammatis compositum esse. — V. 2. *ὅστις ἔχεις*, fort. *ὃς κατέχεις*. — *Ἀΐδα*, Reiske *Ἀΐδᾳ*, conieci olim *αἰαῖ*. — cod. P *τᾶν ὀλ. σποδιᾶν*. — V. 3. *ἐμὸν* Salmasius, cod. P *ἐμοῖς*. — V. 4. *αἴτ' ἀστοὶ*, cod. P *αἰτάστοι*.—Brunck *τελέθοντ'*. — *ἑτεροπτόλιες* Brunck, cod. *τελέθωνταιθετέρωι πόλιος*, Iacobs *ἑτέρας* (poterat lenius *ἑτέρων*) *πόλιος*, Hecker *ἕτεροι πόλιος*. — V. 5. Iacobs *νύμφαν ἐοῖσαν*. — Brunck *τάφος· εἴπατε καὶ τό, ὅττι*. — V. 6. *Βαυκίδα*, cod. *βρυκίδα*. — V. 7. *Τηνία, ὡς εἰδῶντι* Pauw et Heringa, cod. *τηνιδώσειδωντι*, Iacobs *Τηνία· ὡς δ' εἰδῶντι, καί*, Welcker (Opusc. II 146.) *Τηλία* mavult. Optio satis dubia. Steph. Byz. v. *Τῆνος* ipsam Erinnam Teniam dicit, h. e. ex insula Teno non Laconicae oppido oriundam, ut Welcker censet, *Teliam* vel *Teiam* Suidas et Eustathius. Baucidem in patria mortem obiisse verisimile est propterea, quod nuptiae instabant, cum occidit; quamquam quod patriae mentio fit, indicio esse videtur eam procul a patria sepultam esse: quo accedit, quod socer (6 v. 6) iusta persolvit, ut videtur. Illius autem Baucidis popularem fuisse Erinnam non satis tuto coniicias, nam poterat tunc illic hospitio uti. Neque quod doricam dialectum hic deprehendimus me movet, ut *Τηλία* potius quam *Τηνία* scribam, nam in Teno insula passim vestigia dorici moris deprehenduntur. Itaque rem in medio relinquo: illud certum eos, qui de Erinnae patria olim quaesiverunt, hoc epigrammate usos esse, in quo haud dubie iam tunc lectionis eadem varietas extabat. Quod Erinna in lemmate Mitylenaea et infra VII 711: *Λεσβίς ποιήτρια*, item Baucis Mitylenaea appellatur, scriptoris autoschediasma est. — ib. cod. P *ἁσυνεταρὶς*, idemque in marg. repetitum.

Fr. 6. Anth. Pal. VII 712 a m pr. *Εἰς Βαυκίδα τινὰ νύμφην ἐν τῷ θαλάμῳ τελευτήσασαν*, a m. sec. *Ἠρίννης*. Huic quoque lemmati ut supra praemissae sunt notae C ω M (P). Erinnae esse hoc epigramma testificatur Leonidas vel Meleager in epigr. in Erinnam Anth. Pal. VII 13: *Ἦ ῥα τόδ' ἔμφρων Εἶπ' ἐτύμως ἁ παῖς· Βάσκανος ἔσσ', Ἀΐδα.* — V. 1. *εἰμὶ* cod. P, legebatur *ἐμμί*, erat fort. *ἠμί*. — *παρέρπων*, cod. P *παρερπῶν* (sed *ν* addit m. s.). — V. 2. *Ἀΐδᾳ*, cod. P *αἴδα*.

„Βάσκανος ἔσσ', Ἀΐδα·“ τὰ δέ τοι καλὰ σάμαθ' ὁρῶντι
ὠμοτάταν Βαυκοῦς ἀγγελέοντι τύχαν,
ὡς τὰν παῖδ' Ὑμέναιος ὑφ' αἷς (ἄγεν) ἥδετο πεύκαις, 704
ταῖςδ' ἐπὶ καδεστὰς ἔφλεγε πυρκαΐάν·
καὶ σὺ μέν, ὦ Ὑμέναιε, γάμων μολπαῖον ἀοιδάν
ἐς θρηνῶν γοερὸν φθέγμα μεθηρμόσαο.

V. 3 cod. P *βάσκανός ἐσσ'* (a pr. m. *εσ*). — *τὰ δέ τοι καλὰ σάμαθ'* Iacobs, qui etiam *ποικίλα γράμμαθ'* proposuit, cod. P *τὰ δέ τοι καλὰ τὰ μεθ'*. — V. 4. *ὠμοτάταν* et *τύχαν* Salmasius et Brunck, cod. P *ὀμματατᾶι* (sed *ᾶι* a m. s. in rasura) et *τύχαι*, Hecker *τὰ δέ τοι καλὰ κάμ' ἐ φ ο ρ ῶ ν τ ι γ ρ ά μ μ α τ α τὰν Β. ἀ. τύχαν*. — V. 5. cod. Pal. a m. pr. in marg. novam inscriptionem addit *Εἰς τὴν αὐτὴν βαυκ̃*. at continuatur epigramma, quod totidem versibus constat, quot prius. — *ὡς* Brunck, cod. P *ὅς*. — *ὑφ' αἷς ἄγεν* (i. e. *ἄγειν*) *ἥδετο* scripsi, cod. P *ἐφ' ἀἷς ἥδετο*. — V. 6. *ταῖςδ' ... πυρκαΐάν* scripsi, cod. P *τὰν δ' ... πυρ-*
η η
καΐᾶς. — *καδεστάς*, cod. P *καδεστὰς* ut videtur, non *καδευτάς*. Alii aliter difficilem hunc locum conformarunt, velut Brunck coni. *ὑφ' ἅς δόμον ἄγετο πεύκας τᾷδ' .. πυρκαΐᾳ*, Iacobs *ἐφ' αἷς καλὸς ἥδετο πεύκαις, ταῖσδ' ... πυρκαΐᾳ*, Schneidewin *ἐφ' αἷς ἀείδετο*. — V. 7. *μολπαῖον* scripsi, P a m. s. *μολπαῖαν*, a m. pr. *μολπαίαν*. — V. 8. *γοερὸν* Brunck, cod. P *γοερῶν*. Ceterum cf. de hoc epigr. Welcker Syll. Epigr. Praef. XXX seq. — Fuerunt, qui Erinnae tribuerent epigramma, quod in Anthol. Pal. VII 190 inscribitur: *Ἀνύτης, οἱ δὲ Λεωνίδου, εἰς ἀκρίδα καὶ τέττιγα ἐπιτάφιον*, propterea quod Plinius dicit XXXIV 19, 57: „Fecisse (Myronem artificem) et cicadae monumentum et locustae carminibus suis Erinna significat.“ At Myronem statuarium Erinna non potuit commemorare, nisi statuas aliam recentiore aevo poetriam cognominem vixisse: at in illo epigrammate non Myro statuarius, sed virgo *Μυρώ* memoratur: *Ἀκρίδι τᾷ κατ' ἄρουραν ἀηδόνι καὶ δρυοκοίτᾳ Τέττιγι ξυνὸν τύμβον ἔτευξε Μυρώ, Παρθένιον στάξασα κόρα δάκρυ· δισσὰ γὰρ αὐτᾶς Παίγνι' ὁ δυσπειθὴς ᾤχετ' ἔχων Ἀΐδας*. et idem prorsus nomen exhibet Marcus Argentarius, qui idem argumentum tractavit Anth. P. VII 364: *Ἀκρίδι καὶ τέττιγι Μυρὼ τόδε θήκατο σῆμα Λιτὴν ἀμφοτέροις χερσὶ βαλοῦσα κόνιν· Ἥμερα δακρύσασα πυρῆς ἔπι· τὸν γὰρ ἀοιδὸν Ἅιδης, τὴν δ' ἑτέρην ἥρπασε Περσεφόνη*. neque tamen propterea, quod Myro artifex nullum iam negotium facessit, epigramma illud maiori Erinnae tribuendum: nam non esse antiquitate commendabile apparet: neque minoris Erinnae esse verisimile, cuius nullae omnino carminum reliquiae supersunt: neque enim Plinii in tam gravi errore est tanta auctoritas, ut Anytae abiudicemus. Atque alias quoque Erinnae nomen temere substitutum, velut apud Stob. Flor. VII 13, ubi A hoc lemma exhibet *Μελιννοῦς Λεσβίας εἰς Ῥώμην*, Schow ex suis libris ut videtur praeeunte Gesnero edidit *Μελιννὼ ἢ μᾶλλον Ἠρίννη Λεσβία εἰς τὴν ῥώμην*. — Denique addo Hartungum suspicari aenigmata, quae Cleobuli et Cleobulinae nomine ferebantur, ab Erinna scripta esse, sed non video, quibus argumentis ea coniectura stabiliri queat.

VIII.

A L C A E U S.

ΥΜΝΟΙ.

1. [20.] *)

ΕΙΣ ΑΠΟΛΛΩΝΑ.

Ὦ 'ναξ Ἄπολλον, παῖ μεγάλω Δίος.

2. 3. 4. [17. 18. 19.] 70ɜ

Himerius Or. XIV 10: *Ἐθέλω δὲ ὑμῖν καὶ Ἀλκαίου τινὰ λόγον εἰπεῖν, ὃν ἐκεῖνος ᾖσεν ἐν μέλεσι π α ι ᾶ ν α γράφων Ἀπόλλωνι. Ἐρῶ δὲ ὑμῖν οὐ κατὰ τὰ μέλη τὰ Λέσβια, ἐπεὶ μηδὲ ποιητικός τις ἐγώ, ἀλλὰ τὸ μέτρον αὐτὸ λύσας εἰς λόγον τῆς λύρας. Ὅτε Ἀπόλλων ἐγένετο, κοσμήσας αὐτὸν ὁ Ζεὺς μίτρᾳ τε χρυσῇ καὶ λύρᾳ, δούς τε ἐπὶ τούτοις ἅρμα ἐλαύνειν, κύκνοι δὲ ἦσαν τὸ ἅρμα, εἰς Δελφοὺς πέμπει καὶ Κασταλίας νάματα, ἐκεῖθεν προφητεύσοντα δίκην καὶ θέμιν τοῖς Ἕλλησιν· ὁ δὲ ἐπιβὰς ἐπὶ τῶν ἁρμάτων ἐφῆκε τοὺς κύκνους εἰς Ὑπερβορέους πέτεσθαι. Δελφοὶ μὲν οὖν, ὡς ᾔσθοντο, παιᾶνα συνθέντες καὶ μέλος, καὶ χοροὺς ἠϊθέων περὶ τὸν τρίποδα στήσαντες ἐκάλουν τὸν θεὸν ἐξ Ὑπερβορέων ἐλθεῖν· ὁ δὲ ἔτος ὅλον παρὰ τοῖς ἐκεῖ θεμιστεύσας, ἐπειδὴ καιρὸν ἐνόμιζε, καὶ τοὺς Δελφικοὺς ἠχῆσαι τρίποδας, αὖθις κελεύει τοῖς κύκνοις ἐξ Ὑπερβορέων ἀφίπτασθαι. Ἦν μὲν οὖν θέρος καὶ τοῦ θέρους τὸ μέσον αὐτό, ὅτε ἐξ Ὑπερβορέων Ἀλκαῖος ἄγει τὸν Ἀπόλλωνα, ὅθεν δὴ θέρους ἐκλάμ-*

Alcaeus. Fr. 1. Hephaest. 79: *τὸ καλούμενον Ἀλκαϊκὸν ἑνδεκασύλλαβον . . . οἷον· ὦ 'ναξ Ἄπολλον κτλ.* Fl HB *ἄναξ* et *μεγάλοιο*. *Alcaei* hoc esse et quidem ex *primo* carmine ostendit Schol. Heph. 121, ibi Hephaestio dicit: *Λέγομεν τοίνυν ὅτι μικτὰ μέν ἐστι συστηματικά, ὥσπερ εἴ τις τὴν π ρ ώ τ η ν ᾠ δ ὴ ν ἐν τῷ π ρ ώ τ ῳ Ἀ λ κ α ί ο υ, καὶ τὴν δ ε υ τ έ ρ α ν συνάψειε, συστηματικῆς οὔσης αὐτῶν ἑκατέρας.* ubi Schol.: *Καὶ ἔστι τῆς μὲν πρώτης ᾠδῆς ἀρχή· Ὦναξ Ἄ. π. μ. Δ. ἐπιωνική, τῆς δὲ δευτέρας· χαῖρε Κυλλάνας κτλ. ἐπιχοριαμβική.* Cf. etiam Attil. Fortunat. p. 355, ubi versus satis corruptus legitur.

---

*) Numeri uncis inclusi sunt editionis Matthianae.

ποντος καὶ ἐπιδημοῦντος Ἀπόλλωνος θερινόν τι καὶ ἡ λύρα περὶ τὸν θεὸν ἀβρύνεται· ᾄδουσι μὲν ἀηδόνες αὐτῷ, ὁποῖον εἰκὸς ᾆσαι παρ' Ἀλκαίῳ τὰς ὄρνιθας· ᾄδουσι δὲ καὶ χελιδόνες καὶ τέττιγες, οὐ τὴν ἑαυτῶν τύχην τὴν ἐν ἀνθρώποις ἀγγέλλουσαι, ἀλλὰ πάντα τὰ μέλη κατὰ θεοῦ φθεγγόμεναι· ῥεῖ καὶ ἀργυροῖς ἡ Κασταλία κατὰ ποίησιν νάμασι καὶ Κηφισσὸς μέγας αἴρεται πορφύρων τοῖς κύμασι, τὸν Ἐνιπέα τοῦ Ὁμήρου μιμούμενος. βιάζεται μὲν γὰρ Ἀλκαῖος ὁμοίως Ὁμήρῳ καὶ ὕδωρ θεῶν ἐπιδημίαν αἰσθέσθαι δυνάμενον. — (3) Idem hoc carmen respicere videtur Plutarch. de mus. c. 14: *οὐ μόνη δὲ κιθάρα Ἀπόλλωνος, ἀλλὰ καὶ αὐλητικῆς καὶ κιθαριστικῆς εὑρετὴς ὁ θεός. Δῆλον δὲ ἐκ τῶν χορῶν καὶ τῶν θυσιῶν, ἃς προσῆγον μετ' αὐλῶν τῷ θεῷ, καθάπερ ἄλλοι τε καὶ Ἀλκαῖος ἔν τινι τῶν Ὕμνων ἱστορεῖ.* — (4) Porro Pausan. X 8, 9: *ἤκουσα δὲ καὶ ἄλλο τοιόνδε· τὸ ὕδωρ τῇ Κασταλίᾳ ποταμοῦ δῶρον εἶναι τοῦ Κηφισσοῦ· τοῦτο ἐποίησε καὶ Ἀλκαῖος ἐν προοιμίῳ τῷ εἰς Ἀπόλλωνα.*

---

5. [22.]

ΕΙΣ ΕΡΜΗΝ.

Χαῖρε Κυλλάνας ὂ μέδεις, σὲ γάρ μοι

Fr. 5. Hephaest. 79: *ἔστι δὲ καὶ παρ' Ἀλκαίῳ, καὶ ἄδηλον ὁποτέρου ἐστὶν εὕρημα, εἰ καὶ Σαπφικὸν καλεῖται, οἷον· χαῖρε . . . μοι.* Stropham redintegrat S, qui addit *καὶ θυμὸς ὑμνεῖν τὸν κορυφᾶσιν αὐγαῖς. καὶ μαία γέννα τῷ κρονίδῃ μαιεία.* Est autem hoc *secundum* carmen, vid. Schol. Hephaest. 121. — V. 1. *μέδεις* libri, *μεδέεις* Fl, *μέδων* S Turnebus, in schol. vulgo *μέδων*, sed E *μέδεις*. cf. Apoll. Synt. 92: *Καὶ παρὰ Ἀλκαίῳ οἱ περὶ Ἀπίωνα τὸν μόχθον τὸ Κυλλάνας ὁ μέδεις ἐν ῥήματος συντάξει ἤκουον, οὐ παραδεχόμενοι μετοχὴν τοιαύτην ἐκ βαρυτόνου ῥήματος, εἴγε τῆς τοιαύτης λήξεως οὐκ ἔχονται [αἵ] κατὰ τὸ κοινὸν ἐκ βαρυτόνων οὖσαι ῥημάτων, ἀλλὰ καὶ πρὸς τὸ τοιοῦτον ἐδείκνυτο, ὡς καὶ περισπώμενον εἴη ῥῆμα τὸ μεδῶ, ἔνθεν καὶ τὸ Δωδώνης μεδέων, ἀφ' οὗ τὸ μέδημι, ὡς οἴκημι, καὶ ἔτι ἡ μεδέουσα συνοῦσα* (fort. *ἡ μέδεις ὡς οἴκεις* scribendum) *μετοχὴ κατὰ τὸ ἀκόλουθον. κἀκ τῆς γραφῆς συνηλέγχοντο, οὐκ οὔσης ποτὲ διὰ τοῦ ε* (ει) *κατὰ πᾶν δεύτερον πρόσωπον παρ' Αἰολεῦσιν.* Apollonius igitur *ὁ μέδεις* participium esse censuit, et apud Heph. vulgo *ὁ* legitur, sed A exhibet *ὂ μέδεις*, Fl *ὂς μεδέεις*. Scripsi igitur *ὂ μέδεις*, quod Apion recto iudicio usus vidit secundam esse verbi personam; nam si legimus *ὁ μέδεις* i. e. *ὁ μέδων* articulus, omnino alienus: eandemque medicinam adhibui infra fr. 49: *Ἀχίλλευ, ὂ τᾶς Σκυθίκας μέδεις.* Apollonius vidit hoc pugnare cum usu Aeolici sermonis, qui *μέδης* requirere videbatur, sed qua fuit religione, non ausus est hanc formam contra librorum auctoritatem restituere, sed statuit participium esse; at Aeolenses forma *μέδημι* usos esse non poterat exemplo idoneo probare, itaque satis habuit Homericum *μεδέων* comparare. Quare tuebimur secundam personam, quam sermonis lex flagitat: neque vero gravissimo Apollonii testimonio fidem denegabimus, secundam personam apud Lesbios ubique in *ῃς* cadere, id quod Ahrens fecit: librorum antiquorum fides hanc formam tuebatur, paucis tantum locis velut hic et infra fr. 49, ubi ambigua interpretatio, scriptura *εις* erat propagata. In his quidem reliquiis

θῦμος ὕμνην, τὸν κορύφαις ἐν αὔταις
Μαῖα γέννατο Κρονίδᾳ μίγεισα.

6.

Menander de Encom. IX 149 ed. Walz: ἀλλ' ἐπεὶ εὕρηται καὶ τοῦτο τὸ εἶδος τῶν ὕμνων παρὰ τοῖς ἀρχαίοις καὶ ἤδη τινὲς καὶ Διονύσου γονὰς ὕμνησαν καὶ Ἀπόλλωνος γονὰς ἕτεροι, καὶ Ἀλκαῖος Ἡφαίστου καὶ πάλιν Ἑρμοῦ, ubi fortasse scribendum ὡς Ἀλκαῖος καὶ Ἡφαίστου κτλ. ut rhetor quattuor Alcaei hymnos respexerit: nam Apollinis certe natales illustraverat hic poeta, vid. fr. 2, ex hymno in Bacchum videtur fr. 90 petitum. Quod Menander deinde addit: ἔστι δὲ ὡς ποιητῇ μὲν καθ' αὐτὸ μόνον τὸ εἶδος χρήσιμον, συγγραφεῖ δὲ οὐδέποτε, ὁ μὲν γὰρ καὶ Χάριτας μαιευομένας καὶ Ὥρας ὑποδεχομένας καὶ τὰ τοιαῦτα πραγματεύεται, ὁ δ' ἐπ' ἀνάγκης ὅτι βραχύτατα ἐρεῖ, quamvis universim de poesis et pedestris orationis discrimine disputet, tamen haec quoque exempla videtur ex Alcaeo, quem modo adhibuit, petivisse. Poterat Alcaeus Horas Mercurii nutrices fingere, cf. Philostr. in vita Apoll. V 19: ἐνθυμεῖται (ὁ Ἑρμῆς) τὰς ὥρας, ὑφ' ὧν αὐτὸς ἐν κορυφαῖς τοῦ Ὀλύμπου ἐτράφη. et Imag. I 24: τίκτεται μὲν ἐν

pauca vestigia formae ῃς supersunt, ἔχῃς Sappho fr. 99, 2, πώνῃς Alc. fr. 52, φίλησθα Sappho fr. 22 et fortasse Alc. fr. 92 δάμνῃς, contra scribitur ἀτιμάσεις Sappho fr. 44, πεδέχεις et φοιτάσεις 68, 2 et 4, φέρεις, ut videtur fr. 95, θέλεις Alc. fr. 82, sed haud dubie Alexandrini critici his omnibus locis formam ῃς exhibuerunt, quam librarii oblitteraverunt, pariterque ἔχεισθα Sapphus fr. 22, quemadmodum nunc scribitur, olim fortasse erat ἔχησθα, quamquam haec forma omnino aliena. Iam utra forma sit praeoptanda, non facile dixeris: scriptum erat antiquo more omnibus locis *ΕΣ*, hoc qui primi Lesbiorum poetarum carmina ionicis litteris accommodaverunt, ῃς esse arbitrati sunt, secuti ut consentaneum est consuetudinem Aeolici sermonis, qualis tunc fuit: neque abhorret haec forma a lege Aeolensium sermonis aut omnino improbanda est: antiquissima forma cum esset *ΕΣΙ*, littera iota non traiecta est, ut nostri homines existimant, sed abiecta; hinc Dorienses ες dicere solebant, Iones autem, ut damnum resarcirent, diphthongo εις usi sunt, Aeolensibus igitur productione admissa ad eundem modum ῃς dicere licuit: at poterant illi antiquiore tempore, ut diphthongos inprimis adamaverunt, εις, postea ῃς usurpare: fortasse Alcaei et Sapphus saeculo usus fluctuabat: haec igitur non iam licet diiudicare. At in tertia persona constanter scribitur ει, velut ἀδικήει, φεύγει, διώξει, δώσει, φιλήσει ἴζάνει, ὑπακούει, εἴκει, ἔχει saepius, κακχέει, κατθνάσκει, θέλγει, μαρμαίρει, στείχει, ὕει, ἄξει, κωλύει, ἀέρρει, φύει, παροργίνει, et ad eundem modum ἐπικρέτει, ἄχει, κάλει, κατάρρει, δόνει, κελάδει, φίλει, ἄγρει, similiterque ut titulos recentiores praetermittam, in Balbillae epigrammate est πνήει et κατέχει. Nec mirum, nam hic a principio *ΕΙ* scribi solebat. — V. 2. ὕμνην et κορύφαις ἐν αὔταις scripsi Meinekium secutus, qui quidem etiam ἄκραις proposuit, mihi neutrum satis fecit, itaque proposui κορύφας ἰαύγαις i. e. κορυφᾶς ἰωγαῖς. — V. 3. γέννατο scripsi, Meineke γεννᾷ τῷ. — Κρονίδᾳ Meineke, legebatur κρονίδη. — μίγεισα scripsi, quamvis Meineke hoc improbaverit, Μαλειάτᾳ βασιλῆϊ vel Μαλειάταν βασιλῆα proponens: at grammaticus Sapphici tantum hendecasyllabi, non item Adonii versus exempla hic adscripsit.

κορυφαῖς τοῦ Ὀλύμπου . . . ἐνταῦθα τὸν Ἑρμῆν ἀπρτεχθέντα Ὧραι κομίζονται. sed poterant etiam Gratiae una cum Horis commode in Vulcani natalibus adhiberi. Non recte G. Wolf Menandri locum retulit ad fr. 62, qui versus neque ex hoc in Mercurium hymno neque ex Vulcani natalium descriptione petitus est, quod vel numeri diversi arguunt.

7. [21.]

Pausan. VII 20, 4: Βουσὶ γὰρ χαίρειν μάλιστα Ἀπόλλωνα Ἀλ- 706
καιός τε ἐδήλωσεν ἐν Ὕμνῳ τῷ εἰς Ἑρμῆν, γράψας, ὡς ὁ Ἑρμῆς βοῦς ὑφέλοιτο τοῦ Ἀπόλλωνος. Huc respicit Porphyrio, qui ad Horat. Od. I 10, 9: „fabula haec autem ab Alcaeo ficta", et iterum „Mercurius idcirco traditur furandi repertor, quia oratio, cuius inventor est, animos audientium fallit", et supra ad v. 1: „Hymnus in Mercurium ab Alcaei lyrico poeta."

8. [23.]

Athen. X 425 C: Ἀλκαῖος δὲ καὶ τὸν Ἑρμῆν εἰσάγει αὐτῶν (τῶν θεῶν) οἰνοχόον. nisi est ex alio carmine.

---

9. [54.]

ΕΙΣ ΑΘΗΝΑΝ.

Ὤνασσ' Ἀθανάα πολεμαδόκος,
ἅ ποι Κορωνήας ἐπιδεω
ναύω πάροιθεν ἀμφι . .
Κωραλίω ποτάμω παρ' ὄχθαις.

Fr. 9. Strabo IX 411: ἡ μὲν οὖν Κορώνεια ἐγγὺς τοῦ Ἑλικῶνός ἐστιν ἐφ' ὕψους ἱδρυμένη, κατελάβοντο δ' αὐτὴν ἐπανιόντες ἐκ τῆς Θετταλικῆς Ἄρνης οἱ Βοιωτοὶ μετὰ τὰ Τρωϊκά, ὅτε περ καὶ τὸν Ὀρχομενὸν ἔσχον· κρατήσαντες δὲ τῆς Κορωνείας ἐν τῷ πρὸ αὐτῆς πεδίῳ τὸ τῆς Ἰτωνίας Ἀθηνᾶς ἱερὸν ἱδρύσαντο ὁμώνυμον τῷ Θετταλικῷ, καὶ τὸν παραρρέοντα ποταμὸν Κουάριον (Palmerius Κουράλιον, sed repugnat ipse Strabo p. 412 et 436) προσηγόρευσαν ὁμοφώνως τῷ ἐκεῖ· Ἀλκαῖος δὲ καλεῖ Κωράλιον, λέγων· Ἄσσ' Ἀθάνα ἀπολε . . . . . . ἀπὸ Κοιρωνίας ἐπιδεων αυω (sic A, ἐπιδέων αὔω c, ἐπιδεύων ἄνω g, ἐπιδέω αὐτῷ hi) πάροιθεν ἀμφι . . . . . Κωραλίω ποταμῷ παρ' ὄχθαις. Poetae locum om. Bkl, et no nihil nisi ποτάμω π. ὄχ. exhibent. — V. 1. Ὤνασσ' Ahrens, Ἀθανάα πολεμαδόκος Welcker. — V. 2. ἅ ποι Ahrens, ἅ που Welcker. — Κορωνήας ego scripsi. Deinde Welcker coniecit ἐπὶ λαΐω (quod etiam Meineke probat, qui proprium nomen esse putat, velut est ap. Hippocr. Epid. III 134 et 142 ed. Littre) et v. 3 ἀμφιβαίνεις supplevit, sed fortasse hic potius verbum delitescit, coniicias Κορωνήας ἔπι ἔσδεαι ναύω πάροιθεν ἀμφὶ βῶμον. Cf. Callim. in Lav. Pall. v. 63: Ἠ 'πὶ Κορωνείας, ἵνα οἱ τεθυωμένον ἄλσος καὶ βωμοὶ ποταμῷ κεῖντ' ἐπὶ Κουραλιῷ. — V. 3. ναύω Welcker. Longe aliter locum conformavit O. Müller: Ἄνασσ' Ἀθαναία πολίων, ἀπὸ τᾶς σᾶς Κορωνείας ἐπὶ δεῦρ' ἴθι, Πάροιθεν ἂν ἱδρυσάμεσθα κτλ. Hartung πολέμων ἴδρις ἅ που Κορωνήας ἐπικρημνίου ναὸν πάρ. ἀμφιβαίνεις.

10. [55.] 707

Strabo IX 412: *Οὐκ εὖ δ' ὁ Ἀλκαῖος, ὥσπερ τὸ τοῦ ποταμοῦ ὄνομα παρέτρεψε τοῦ Κουαρίου, οὕτω καὶ τοῦ Ὀγχηστοῦ κατέψευσται, πρὸς ταῖς ἐσχατιαῖς τοῦ Ἑλικῶνος αὐτὸν τιθείς· ὁ δ' ἐστὶν ἄπωθεν ἱκανῶς τούτου τοῦ ὄρους.* quod videtur ex eodem hymno petitum.

---

11. [71.]

ΕΙΣ ΗΦΑΙΣΤΟΝ.

. . *Ὥστε θέων μηδέν' Ὀλυμπίων λῦσαι ἄτερ ϝέθεν.*

12.

Menander de Encom. IX 149 Walz: *Καὶ Ἀλκαῖος Ἡφαίστου καὶ πάλιν Ἑρμοῦ (γονὰς ὕμνησεν).* cf. quae ad fr. 6 adnotata sunt.

---

* 13. [24.]

. . . . . *Δεινότατον θέων,*
(τὸν) γέννατ' εὐπέδιλος Ἶρις
χρυσοκόμᾳ Ζεφύρῳ μίγεισα.

14. [81.]

Τὸ δ' ἔργον ἀγήσαιτο τέα κόρα.

Fr. 11. Apollon. Dysc. de pron. 358 B: *Σαφὲς ὅτι καὶ τὸ Αἰολικὸν δίγαμμα ταῖς κατὰ τὸ τρίτον πρόσωπον προσνέμεται, καθὸ καὶ αἱ ἀπὸ φωνήεντος ἀρχόμεναι δασύνονται. Ἀλκαῖος· Ὥστε κτλ.* Cod. *λυσεατερ γεθεν.* corr. Bekker, Ahrens *λῦσαί σ' ἄτερ* coniecit. Metrum tale fuisse existimo:

[⏓ ⏑ –] –́ ⏑ ⏑ – –́ ⏑ ⏑ – ⏑ – –́ ⏑ ⏑ – ⏑ ⏓

Hartung *ὧστε μηδένα τῶν θεῶν | Ὀλυμπίων ἀλλῦσαι ἄτερ ϝέθεν.*

Fr. 13. Plutarch. Amator. c. 20: *Τὰ μὲν οὖν πολλὰ ποιηταὶ προσπαίζοντες ἐοίκασι τῷ θεῷ γράφειν περὶ αὐτοῦ καὶ ᾄδειν ἐπικωμάζοντες, ὀλίγα δὲ εἴρηται μετὰ σπουδῆς αὐτοῖς, εἴτε κατὰ νοῦν καὶ λογισμόν, εἴτε σὺν θεῷ τῆς ἀληθείας ἀψαμένοις· ὧν ἕν ἐστι καὶ τὸ περὶ τῆς γενέσεως· Δεινότατον κτλ. εἰ μή τι καὶ ὑμᾶς ἀναπεπείκασιν οἱ γραμματικοί, λέγοντες πρὸς τὸ ποικίλον τοῦ πάθους καὶ τὸ ἀνθηρὸν γεγονέναι τὴν εἰκασίαν.* Respicit huc Etym. Gud. 278, 17: *Τὰ γὰρ ἄνθη λέγεται ἶμερα, ἐπεὶ ἐν τῷ ἔαρι φύονται, ὅτε καὶ τὰ ἐρωτικὰ θερμότερα ἐστί. τούτου χάριν καὶ ὁ Ἀλκμαῖος Ζεφύρου καὶ Ἴριδος τὸν Ἔρωτα φησίν.* Cf. Et. M. 470, 28. Argum. Theocr. Id. XIII (ubi Ἔριδος), Eustath. Il. 391, 24 et 555, 30. — V. 1. *θέων*, v. *θεῶν*, *θειῶν* BE edd. vett. — V. 2. *τὸν γέννατ'* scripsi, *γείνατ'* libri, *ἐγείνατ'* Gaisford, *ἐγέννατ'* Schneidewin. — *εὐπέδιλος*, Ahrens *εὐπέδιλλος*. — V. 3. *μίγεισα* Porson, libri *μιχθεῖσα*.

Fr. 14. Apollon. de pron. 395 A: *Ἡ τεὸς Δωρικὴ τῇ σὸς ὁμωνυμεῖ*

II. ΣΤΑΣΙΩΤΙΚΑ. 708

15. [1.]

Μαρμαίρει δὲ μέγας δόμος χάλκῳ· πᾶσα δ' Ἄρῃ κεκόσμηται στέγα
λάμπραισιν κυνίαισι, καττᾶν λεῦκοι κατύπερθεν ἴππιοι λόφοι
νεύοισιν, κεφάλαισιν ἄνδρων ἀγάλματα, χάλκιαι δὲ πασσάλοις
κρύπτοισιν περικείμεναι λάμπραι κνάμιδες, ἄρκος ἰσχύρω βέλευς,
θώρακές τε νέοι λίνω κοίϊλαί τε κατ' ἄσπιδες βεβλήμεναι·
παρ δὲ Χαλκίδικαι σπάθαι, παρ δὲ ζώματα πόλλα καὶ κυπάττιδες·
τῶν οὐκ ἔστι λάθεσθ', ἐπειδὴ πρώτιστ' ὑπὸ Ϝέργον ἔσταμεν τόδε.

* 16. [46.]

. . . . . *Βλήχρων ἀνέμων ἀχείμαντοι πνόαι.*

... *καὶ παρ' Αἰολεῦσιν· Ἀλκαῖος ἐν πρώτῳ· Τὸ δ' ἔργον κτλ. ἀγήσαιτο* Bast alii, cod. *ἀγήσατο.*

Fr. 15. Athen. XIV 627 A: *Ἀλκαῖος ὁ ποιητής, εἴ τις καὶ ἄλλος, μουσικώτατος γενόμενος, πρότερα τῶν κατὰ ποιητικὴν τὰ κατὰ τὴν ἀνδρείαν τίθεται, μᾶλλον τοῦ δέοντος πολεμικὸς γενόμενος· διὸ καὶ ἐπὶ τοῖς τοιούτοις σεμνυνόμενος φησίν· Μαρμαίρει κτλ. καίτοι μᾶλλον ἴσως ἥρμοττε τὴν οἰκίαν πλήρη εἶναι μουσικῶν ὀργάνων.* A. Schoene hoc carmen ad bellum exterum refert, fortasse recte, sed grammatici veteres non videntur eiusmodi carmina a stasioticis segregavisse. — V. 1 init. affert Eust. 1320, 1. — *Ἄρῃ* A, *ἄρη* BP, *Ἄρει* VL. — *στέγα* Blomfield, vulgo *στέγη.* — V. 2. *κυνίαισι* B, *κυνίαισιν* A, *κυνέαισιν* VL, *λαμπρᾶ σικυνίαισιν* P. — *καττᾶν*, P *κάτταν.* — *κατύπερθεν*, legebatur *καθύπερθεν*, B *καθάπερ.* — V. 3. *νεύοισιν* Schneidewin alii, vulgo *νεύουσιν.* — *χάλκιαι* B, *χάλκειαι* PVL, vulgo *χάλκεαι.* — V. 4. *κρύπτοισιν* Welcker, vulgo *κρυπτοῖσιν.* — *κνάμιδες*, PL *κναμίδες*, V *κναμῖδες.* — *ἄρκος* APV, *ἕρκος* L. — *ἰσχύρω βέλευς*, *ἰσχυρῶ βέλευς* A, *ἰσχυροβελὲς* PVL. — V. 5. *νέοι λίνω* scripsi, *νέω λίνω* Casaubonus, vulgo *νέῳ λίνῳ*, Ursinus *νεώλινοι*, unde Schneidewin *νεόλλινοι.* — *κοίϊλαι* scripsi, *κώϊλαι* Ahrens, *κόϊλαι* Seidler, vulgo *κοῖλαι.* — *κατ' ἄσπιδες* Schweighaeuser, *κατασπίδες* PVL. — *βεβλημέναι* ABP, *βεβλημένον* VL. — V. 6. *κυπάττιδες* Blomfield alii, *κυππατίδες* PVL, *κυπάσσιδες* Ahrens. — V. 7. *λάθεσθ'* Iani, *λαθέσθαι* PVL. — *πρώτιστ'* Schneidewin, *πρώτισθ'* A, *πρώτιστα* PVL. — *Ϝέργον* Blomfield, legebatur *ἔργον.* Praeterea Ahrens v. 1 *παῖσα*, v. 2 *καθίπερθεν*, v. 6 *ζώμματα*, v. 7 *ὐπὰ* scripsit.

Fr. 16. Schol. Il. θ 178: *Ἄλλως δὲ ἤδη αὐτὸ τὸ βληχρὸς σημαίνει ὡς ἐπὶ τὸ πλεῖστον μᾶλλον τὸ ἀσθενές. Ἀλκαῖος θ'. Βληχρῶν ἀ. ἀ. πνοιαί.* Idem legitur ap. Eustath. 705, 62 et Cram. An. Ox. I 95 (sine p. nomine), ubi *πνοαί.* Resp. Et. M. 200, 13. Zonar. 393. Suid. v.

* 17. [52.]

. . . . . *Γαίας καὶ νιφόεντος ὠράνω μέσοι.*

18. [2.] 709

Ἀσυνέτημι τῶν ἀνέμων στάσιν·
τὸ μὲν γὰρ ἔνθεν κῦμα κυλίνδεται,
τὸ δ' ἔνθεν· ἄμμες δ' ἀν τὸ μέσσον
νᾶϊ φορήμεθα σὺν μελαίνᾳ,
χείμωνι μοχθεῦντες μεγάλῳ μάλα·
περ μὲν γὰρ ἄντλος ἰστοπέδαν ἔχει,
λαῖφος δὲ πὰν ζάδηλον ἤδη
καὶ λάκιδες μέγαλαι κατ' αὖτο·
χόλαισι δ' ἄγκυραι.

Βληχρόν. Videtur autem hoc fr. sicut sequens ex allegorico carmine petitum.

Fr. 17. Apollon. de Adv. in Bekk. An. II 613, 36: *Τῇδε γὰρ ἔχει καὶ τὸ ἐπίρρημα παρ' Αἰολεῦσι τὸ μέσοι· Γαίας κτλ* Cf. idem 588, 27: *Τὸ γὰρ παρὰ τοῖς περὶ τὸν Ἀλκαῖον μέσσοι δῆλον ὅτι κατὰ τὴν ἰδίαν διάλεκτον ἀνὰ λόγον βαρυνθείη ἄν· οὐ γάρ ἐστιν ἐλλιπὲς τῇ ἐν προθέσει, συστελλομένου τοῦ ω εἰς τὸ ο, ὥςτινες ὑπενόησαν, ἐν μέσσῳ, ἀλλ' ὃν τρόπον παρὰ τὸ οἶκος τὸ οἶκοι ἐγένετο, σημαῖνον τὸ ἐν οἴκῳ, παρά τε τὸ Πυθὼ τὸ Πυθοῖ, καὶ παρὰ τὸ Μέγαρα τὸ Μεγαροῖ, σημαῖνον τὸ ἐν Μεγάροις, τὸν αὐτὸν τρόπον καὶ παρὰ τὸ μέσος τὸ μέσσοι ἐγένετο, σημαῖνον τὸ ἐν μέσῳ. ὅπερ ἔφην κατὰ τὸ Αἰολικὸν ἔθος βαρύνεσθαι.*

Fr. 18. Heraclid. Alleg. Homer. c. 5 ed. Mehler: *Ἐν ἱκανοῖς δὲ καὶ τὸν Μιτυληναῖον μελοποιὸν εὑρήσομεν ἀλληγοροῦντα. τὰς γὰρ τυραννικὰς ταραχὰς ἐξίσου χειμερίῳ προσεικάζει καταστήματι θαλάσσης, ἀσυνέτην καὶ* (AB *νῆ*) *τῶν ἀνέμων στάσιν* (olim male haec verba ad Heraclidis orationem referebantur)· *τὸ μὲν γὰρ . . . ἄγκυραι. Τίς οὐκ ἂν εὐθὺς ἐκ τῆς προτρεχούσης περὶ τὸν πόντον εἰκασίας ἀνδρῶν πλωϊζομένων θαλάττιον εἶναι νομίσειε φόβον; ἀλλ' οὐχ οὕτως ἔχει. Μυρσίλος γὰρ ὁ δηλούμενός ἐστι καὶ τυραννικὴ κατὰ Μιτυληναίων ἐγειρομένη σύστασις.* cf. Matranga An. 299. Cocondrius *περὶ τρόπων* in Boisson. An. III 294 (cf. Walz Rhet. VIII 787): *Παρὰ Ἀλκαίῳ· Συνίημι τῶν ἀνέμων τὴν στάσιν· τὸ μὲν γὰρ κτλ.* — V. 1. *ἀσυνέτημι* Ahrens, vid. Choerobosc. in Psalm. 26: *παρ' Αἰολεῦσι δὲ πολλὰ εὑρίσκονται, ἀσυνέτημι, ἐλευθέρωμι, δέδωμι* (fort. *δοκίμωμι*), et Theodos. in Bekk. An. III 1045: *τινὲς ἐνόμισαν τὰ εἰς μι πάντα τῆς Αἰολίδος εἶναι διαλέκτου· πολλὴ γάρ ἐστιν παρ' αὐτοῖς ἡ εἰς μι κατάληξις· γέλαιμι γὰρ καὶ ἀσυνέτημι φασί.* Nisi malis *ἀσυννέτημι.* — V. 3. Respicit huc Apoll. de pron. p. 379 B. — *ἀν*, Ahrens *ὀν.* — *μέσσον* Blomfield alii, libri *μέσον*, Cocond. *ἄμμε δὲ τὸ μέσον αἰεὶ φ. σ. μέλανι.* — V. 5. *μοχθεῦντες* Heracl., *μογέοντες* Coc., Ahrens *μόχθεντες.* — *μάλα* Coc., *καλὰν* Heracl. (AB *καλά*). — V. 6. *περ* Hermann, vulgo *παρά*, AB *περὰ*, Blomfield *πὰρ* vel *πᾶσαν μὲν ἄντλος.* — V. 7. *πὰν* Ahrens, v. *πᾶν.* — *ζάδηλον* cum perperam interpretatus esset Hartung substituit *δαλητόν*, Ahrens *ζάδαλον* scripsit. — V. 8. *χόλαισι*, libri *χολαῖσι*, *χαλᾶσι* Ursinus.

19. [3.]

Τὸ δηὖτε κῦμα τῶν προτέρων ὄνω
στείχει, παρέξει δ' ἄμμι πόνον πόλυν
ἄντλην, ἐπεί κε νᾶος ἐμβᾷ.

20. [4.]

Νῦν χρὴ μεθύσθην καί τινα πρὸς βίαν
πώνην, ἐπειδὴ κάτθανε Μύρσιλος.

21. [7.]

Μέλαγχρος αἴδως ἄξιος εἰς πόλιν.

22. [10.]

Λόφον τε σείων Κάρικον.

23. [11. 12.]

Ἄνδρες πόληος πύργος ἀρεύϊοι.

Fr. 19. Heraclid. c. 5: *Ὁμοίως δὲ τὰ ὑπὸ τούτου (Μυρσίλου) αἰνιττόμενος ἑτέρωθί που λέγει· Τὸ δὲ εὖ γε κῦμα τῷ προτέρῳ νεομωστίχει παρέξει δὲ ἄμμι πόνων πολλὴν ἄντλην* (quae sequuntur vulgo male ad Her. orationem referebant), *ἐπεὶ καὶ ναὸς ἐμβαίνει. Κατακόρως ἐν ταῖς ἀλληγορίαις ὁ νησιώτης θαλασσεύει καὶ τὰ πλεῖστα τῶν διὰ τοὺς τυράννους ἐπεχόντων κακῶν πελαγίοις χειμῶσιν εἰκάζει.* — V. 1. *δηὖτε* Seidler, *τῶν προτέρων* Seidler, *ὄνω* ego correxi, Seidler *ὄμω* coniecit, AB *τόδ' εὔτε κ. τω προτέρω νέμω*, Hermann *τῷ προτέρῳ νέον*, Gaisford *τῷ προτέρῳ 'νέμῳ*. — V. 2. *στείχει* Blomfield, *στοιχεῖ* Ahrens, libri *στίχει*. — *πόνον πόλυν* AB, ut Elmsley coni, Hartung distinxit *πόλυν, ἄντλην ἐπεὶ κε ν. ἐ.* interpretatus *ἄντλον*, quod omni ex parte falsum. — V. 3. *κε*, libri *καί*, antea *κα* scripsi, Seidler *καν* i. e. *κατά*. — *ἐμβᾷ*, nisi malis *ἀμβᾷ*, Seidler *ἔμβᾳ*, libri *ἐμβαίνει*, fortasse *ἐμβαίνῃ κάτα* (*τετραέλικτος ἄλμα*) scribendum vocabulo diviso, vid. ad fr. 155 Huc fortasse respicit Schol. Pind. Isth. I 52: *Καὶ Ἀλκαῖος τὴν δυστυχίαν χειμῶνα καὶ τρικυμίαν λέγει*, ubi *Αἰσχύλος* corrigunt.

Fr. 20. Athen. X 430 A: *Κατὰ γὰρ πᾶσαν ὥραν καὶ περίστασιν πίνων ὁ ποιητὴς οὗτος (Ἀλκαῖος) εὑρίσκεται. — ἐν δὲ ταῖς εὐφρόναις· Νῦν κτλ.* — V. 1. *μεθύσθην* libri ut videtur, vulgo *μεθύσκειν*. — V. 2. *πώνην* Ahrens, *πίνειν* Casaub., vulgo *πονεῖν*. Cf. Arcad. de Acc. 160, 4: *τὰ εἰς νω παραληγόμενα φύσει μακρῷ φωνήεντι, ὁπότε μὴ εἴη κατ' αἰολίδα διάλεκτον, περισπᾶται ... τὸ πάνω (πώνω) βαρύνεται ὡς ἴδιον αἰολικόν.* Ceterum vir doctus coniecit: *καὶ χθόνα πρὸς βίαν παίειν*, ubi Hartung *κρούειν* praeoptat.

Fr. 21. Hephaest. 79: *τὸ καλούμενον Ἀλκαϊκὸν ἑνδεκασύλλαβον*
o
... *Μέλαγχρος αἰδώς* (ita Fl Turn., sed A *αἰδῶς*, atque iam Vossius *αἰδῶς* correxit, *αἰδῶς ἄξιος* hinc affert Cram. Gramm. An. Ox. I p. 208, 17) *ἄξ. εἰς* (A *ἐς*) *πόλιν*.

Fr. 22. Strabo XIV 661: *Τοῦ δὲ περὶ τὰ στρατιωτικά ζήλου τά τε ὄχανα ποιοῦνται τεκμήρια καὶ τὰ ἐπίσημα καὶ τοὺς λόφους. ἅπαντα γὰρ λέγεται Καρικά. Ἀνακρέων μέν γε φησίν..., ὁ δ' Ἀλκαῖος· Λόφ. κτλ.* Eadem Eust. Il. 367, 25 (*τε* om.).

Fr. 23. Schol. Aeschyl. Pers. 347: *ἀνδρῶν γὰρ ὄντων ἕρκος ἐστὶν*

24. [13.] 711

Schol. Aeschyl. Sept. 398: *Οὐδ' ἑλκοποιὰ γίνεται τὰ σήματα· ταῦτα παρ' Ἀλκαίου· οὐ τιτρώσκει τὰ ἐπίσημα ὅπλα, οὐδὲ αὐτὰ καθ' ἑαυτὰ δύναμιν ἔχει, εἰ μὴ ἄρα ὁ φέρων αὐτά, ἐὰν γενναῖος ᾖ.*

25. [14.]

Ὤνηρ οὗτος ὁ μαιόμενος τὸ μέγα κράτος
ἀντρέψει τάχα τὰν πόλιν· ἀ δ' ἔχεται ῥόπας.

26. [94 b.]

Οὐδέ πω Ποσείδαν
ἅλμυρον ἐστυφέλιξε πόντον.

ἀσφαλές. Ἀλκαῖος· ἄνδρες γὰρ πόλεως πύργος ἀρήϊος, sed cod. Medic. sec. Gaisford Et. M. Praef. p. VIII *ἄνδρες πόληος πύργος ἀρεύϊοι*, (Dindorf tantum *ἀρεύιος* ex cod. Med. adnotavit,) quod praetuli, quamquam *τεῖχος ἄρειον* Homerus dixit Il. *Δ* 407. *Ο* 736. Huc adde Schol. Soph. Oed. R. 56: *Ἀλκαῖος· Ἄνδρες πόλεως πύργοι ἀρήϊοι*, eademque Suid. v. *Ἀρήϊος*. Respicit hunc locum Aristid. I 821: *δι' ἃ πάντα χρὴ καὶ τὸ συμβεβηκὸς ἐνεγκεῖν ὡς πρᾳότατα καὶ τῶν δευτέρων ἐρρωμένως ἀντέχεσθαι καὶ τὸν λόγον βεβαιῶσαι, ὅτι οὐκ οἰκίαι καλῶς ἐστεγασμέναι οὐδὲ λίθοι τειχῶν εὖ δεδομημέναι οὐδὲ στενωποί τε καὶ νεώρια ἡ πόλις, ἀλλ' ἄνδρες χρῆσθαι τοῖς ἀεὶ παροῦσι δυνάμενοι.* Alcaei hanc esse sententiam indicat idem II 273 (Phot. Bibl. p. 430 A): *Τὸν λόγον ὃν πάλαι μὲν Ἀλκαῖος ὁ ποιητὴς εἶπεν, ὕστερον δὲ οἱ πολλοὶ παραλαβόντες ἐχρήσαντο ὡς ἄρα οὐ λίθοι οὐδὲ ξύλα οὐδὲ τέχνη τεκτόνων αἱ πόλεις εἶεν, ἀλλ' ὅπου ποτ' ἂν ὦσιν ἄνδρες αὑτοὺς σώζειν εἰδότες, ἐνταῦθα καὶ τείχη καὶ πόλεις.* Cf. etiam I 791: *ἐὰν .. τοῦ θαυμάζειν τοὺς λίθους ἀνῆτε μικρόν τι καὶ νομίσητε πλείονος ἀξίους ὑμᾶς αὐτοὺς τῶν οἰκοδομημάτων καὶ πιστεύσητε ἀληθὲς εἶναι τὸ πάλαι τοῦτο, ὡς ἄρα οὐ τείχη οὐδὲ ᾠδεῖα οὐδὲ στοαὶ οὐδὲ ὁ τῶν ἀψύχων κόσμος αἱ πόλεις εἶεν, ἀλλ' ἄνδρες αὑτοῖς εἰδότες θαρρεῖν.* Ad idem hoc carmen fort. referendum quod dicit Plato de Leg. VI 778 D: *περὶ δὲ τειχῶν, ὦ Μέγιλλε, ἔγωγ' ἂν τῇ Σπάρτῃ ξυμφεροίμην τὸ καθεύδειν ἐᾶν ἐν τῇ γῇ κατακείμενα τὰ τείχη καὶ μὴ ἐπανιστάναι, τῶνδε εἵνεκα· καλῶς μὲν καὶ ὁ ποιητικὸς ὑπὲρ αὐτῶν λόγος ὑμνεῖται τὸ χαλκᾶ καὶ σιδηρᾶ δεῖν εἶναι τὰ τείχη μᾶλλον ἢ γήϊνα.* Nisi forte Tyrtaeus eandem sententiam carmine illustravit, quorsum referre possis quod est ap. Hephaest. p. 3:

Τίρυνς, οὐδέ τις τεῖχος ἐπήρκεσε.

Adde huc Nicolaum Progymn. I 277 Walz: *πρὸς ἃ δὴ βλέπων Ἀλκαῖος ὁ ποιητὴς οὐ ξύλα καὶ λίθους, ἀλλ' ἄνδρας ἐφιλοσόφησε πόλεως σύστασιν.* Cf. Philotheus ap. Mingarelli Codd. Nan. 533.

Schol. Apoll. Rh. IV 992: *καὶ Ἀλκαῖος δὲ κατὰ τὰ αὐτὰ Ἀκουσιλάῳ λέγει τοὺς Φαίακας ἔχειν τὸ γένος ἐκ τῶν σταγόνων τοῦ Οὐρανοῦ.* (Keil ex Laur. *καὶ Ἀλκαῖος δὲ λέγει τοὺς Φ.*) Nescio an *Ἀλκμὰν* sit legendum.

116. [45.]

Schol. Soph. Oed. Col. 954: *Οἷον οὐκ ἔστι θυμοῦ κρατῆσαι ἄνθρωπον ὄντα· οὐ καταγηράσκει τὸ ὠμὸν τοῦ θυμοῦ, εἰ μὴ ἐξέλθοι τοῦ βίου ὁ ἄνθρωπος· ἀδύνατον γάρ ἐστι ζῶντα ἄνθρωπον μὴ θυμῷ χρήσασθαι· τοῦτο δὲ καὶ παροιμιακῶς λέγεται, ὅτι ὁ θυμὸς ἔσχατον γηράσκει· λέγεται δὲ διὰ τοὺς πρεσβυτέρους, ὅσῳ γὰρ γηράσκουσι, τὸν θυμὸν ἐρρωμενέστερον ἔχουσιν· καὶ Ἀλκαῖος, ὡς λέγομεν, οὕτω κατὰ κοινὸν αὐτοῦ μιμνήσκεται.* ubi Tricl. *ὡς λέγεται, οὕτω κατὰ κοινοῦ.* et Suidas v. *Θυμὸς ἑπταβόειος*, ubi recte *ὡς λεγομένου κατὰ κ.*

117. [93.] 73

Schol. Hesiod. Th. 313: Τὴν Ὕδραν δὲ Ἀλκαῖος μὲν ἐννεακέφαλόν φησι, Σιμωνίδης δὲ πεντηκοντακέφαλον.

118. [94.]

Schol. Nic. Ther. 613: καὶ Ἀλκαῖός (ita G, v. Ἀρχαῖος) φησιν ἐν (hoc delet Welcker, sed fort. ἐν τοῖς πρὸς leg.) τοῖς περὶ Ἀρχεανακτίδην (ita A, ἀρχομενακτίδην V, ἀριομενακτίδην K) καὶ (Welcker κατὰ) τὸν πρὸς Ἐρυθραίους πόλεμον φανῆναι Ἀπόλλωνα καθ' ὕπνον (G καθ' ὕπνους) ἔχοντα μυρίκης κλῶνα.

119. [106.]

Eust. Il. 314, 43: Ἀλκαῖος δέ, φασί, καὶ Ἀρχίλοχος ἀγέρωχον τὸν ἄκοσμον καὶ ἀλαζόνα οἶδε.

120. [103.]

Phot. 7, 15: Ἄγωνος κατὰ σχηματισμὸν ἀντὶ τοῦ ἀγών· ἀπὸ δὲ γενικῆς ἐσχηματίσθη· οὕτως Ἀλκαῖος ὁ λυρικὸς πολλάκις ἐχρήσατο.

121.

Hesych.: Ἀλίβαπτον (cod. ἀλιβάπτοις, fort. ἀλιβάπτοις· πορφυροῖς· καὶ ἀλίβαπτον)· πορφυρᾶν ὄρνιν. Ἀχαιὸς καὶ Ἀλκμάν. Scrib. Ἀλκαῖος καὶ Ἀλκμάν, quod etiam Urlichsio placuit.

122. [97.]

Et. M. 76, 51: Ἀμάνδαλον τὸ ἀφανὲς παρὰ Ἀλκαίῳ· ἀμαλδύνω, ἀμάλδανον τὸ ἀφανὲς καὶ ἀφανιζόμενον· καὶ ὑπερθέσει ἀμάνδαλον. Cf. Cram. An. Par. IV 8, 16.

123. [107.]

Cram. An. Ox. IV 336, 6: Ἄρεως ἀπὸ Ἄρευς· εὑρέθη δὲ παρὰ Ἀλκαίῳ. Cf. Eust. p. 518, 35: ἔσται δὴ καὶ Ἄρευς εὐθεῖα, ἥτις παρὰ Ὁμήρῳ μὲν οὐκ ἔστι, παρὰ δὲ Ἀλκαίῳ εὑρέθη.

124. [98.]

Et. M. 181, 44: Ἀχνάσδημι κάκως· παρὰ Ἀλκαίῳ· ἔστιν ἄχω, παράγωγον ἀχάζω, ἀχάζημι, καὶ τροπῇ τοῦ ζ εἰς σ καὶ δ, πλεονασμῷ τοῦ ν, ἀχνάσδημι, οὕτως Ἡρωδιανὸς περὶ παθῶν.

125. 73

Hesych. Αὔελλαι (cod. αὐεοῦλλαι)· ἀέλλαι· παρὰ τὸ ἄελλαι· sic olim editum, sed Musurus correxerat παρὰ τὸ αὔω καὶ ἄελλαι. sed cod. πὲ ἄκλω. Recte Ahrens αὔελλαι· ἄελλαι· παρὰ Ἀλκαίῳ, Schmid παρὰ Εὔκλῳ mavult.

126.

Cram. An. Ox. I 253, 20: Ζητοῦμεν οὖν καὶ τὸ τοῖσδεσσι πῶς εἴρηται· καὶ ἄμεινον λέγειν ἐπέκτασιν· τοῦτο μιμούμενος Ἀλκαῖος

φησί· τῶνδεων (legebatur τῶν δεῶν), ὅπερ τινὲς ἀγνοίᾳ τἀκριβοῦς ἀνέγνωσαν τῶν δεῶν, ἵν' ᾖ τῶν δεῖν (leg. δεῖνα).

127. [112.]

Eust. Od. 1759, 27: Λέγει δὲ (Ἡρακλείδης) καὶ χρῆσιν εἶναι τοῦ ἔον παρὰ Ἀλκαίῳ. Cf. Favor. 222.

128.

Hesych.: Ἐπαίνους· τὰς κρίσεις καὶ τὰς συμβουλίας καὶ τὰς ἀρχαιρεσίας. Σοφοκλῆς Θυέστῃ Σικυωνίῳ καὶ Ἀλκαῖος ταῖς ἐπαινήτεσιν. sic correxerunt Maussacus et Vossius, contra Heinsius Ἀλκμαίωνι. Cod. καὶ ἀλκέοι ταῖς ἐπαινητ(ε)αισιν. Sed fortasse haec Sophoclis verba in Thyeste fuerunt: ἐπαλκάθοι τοῖς ἐπαινέταισιν. Fieri autem potest, ut nonnulli doctius quam verius ita interpretati sint Alcaei illud μέγ' ἐπαινέοντες fr. 37 A.

129. [102.]

Eust. Od. 1687, 52: Τὸν ἐφιάλτην ἐπιάλτην κατὰ παλαιὰν παρασημείωσιν ὁ Ἀλκαῖος λέγει. Et. M. 434, 12: ὁ δὲ Ἀλκαῖος ἐπίαλον αὐτὸν λέγει.

130. [101.]

Et M. 377, 19: Ἐρρεντὶ παρὰ Ἀλκαίῳ ἀπὸ τοῦ ἔρρω ἢ ἐρρῶ περισπωμένου, ἡ μετοχὴ ἐρρεὶς ἐρρέντος, καὶ ὡς παρὰ τοῦ ἐθέλοντος ἐθελοντί, οὕτω καὶ παρὰ τὸ ἐρρέντος ἐρρεντί.

131.

Et. M. 385, 9: Ἐσυνῆκεν· Ἀλκαῖος ἐσυνῆκε καὶ Ἀνακρέων ἐξυνῆκε πλεονασμῷ. scrib. ἐσύνηκεν, ut σύνοιδα, vid. Et. M. 484, 4. (617, 52.)

132. [117.]

Choerobosc. Epimer. I 106 (Bekk. Anecd. III 1183): Ὦ Εὐρυδάμαν παρὰ Ἀλκαίῳ. μετὰ τοῦ ῡ ληγόμενον κατὰ τὴν κλητικήν. Constant. Lascar. de nom. et verb. 116 B: ὦ Πολυδάμαν παρ' Ἀλκαίῳ, ὡς γέγραπται.

133. [100.]

Et. M. 319, 30: Ἔθηκε σημαίνει δύο, τὸ προκατέθηκεν ἢ ἐποίησεν . . . ἀφ' οὗ καὶ θέσις ἡ ποίησις παρὰ Ἀλκαίῳ.

134. 732

Cram. An. Par. III 278, 9: Οἷόν ἐστι παρὰ τῷ Ἀλκαίῳ τὸ κάλιον ἀντὶ τοῦ κάλλιον.

135. [108.]

Eust. Il 603, 39: Λέγει ὁ αὐτὸς (Ἀριστοφάνης ὁ γραμματικός)· καὶ τὸ συνεστραμμένον πνεῦμα καὶ καταράσσον ἄνεμον κατάρη λέγουσιν ὁ Ἀλκαῖος καὶ η Σαπφὼ διὰ τὸ κατωφερῆ ὁρμὴν ἔχειν. cf. Sapphus fr. 160.

136.

Schol. Hom. Od. λ 521: *Κήτειοι· τινὲς ἀπέδοσαν μεγάλοι παρὰ τὸ κῆτος. κρεῖσσον δὲ ἀποδιδόναι Μυσῶν ἔθνος τοὺς Κητείους· ἦν γὰρ ὁ Τήλεφος Μυσίας βασιλεύς, καὶ Ἀλκαῖος δέ φησι τὸν Κήτειον ἀντὶ τοῦ Μυσόν.*

137.

Et. Gud. 322, 5 et Cram. An. Par. IV 36, 1: *Ὁ δὲ Ἀλκαῖος ὁμοίως Ὁμήρῳ τὸν ἰσχυρὸν κίκυν καλεῖ.* at ib. 35, 16 legitur: *Κῖκυς σημαίνει τὸν ἀδελφὸν τοῦ Ἀλκαίου, παρὰ τὸ κίκις γέγονεν, ὃ σημαίνει τὴν ἰσχύν, καὶ τροπῇ τοῦ ῡ εἰς ῑ.* et ib. Cyrill. 185, 3: *Κίκις ὁ ἀδελφὸς Ἀλκαίου.* Eadem Suidas. In Et. M. 513, 25 a Gaisfordio ex codd. restitutum: *Κίκις·* (V *κικῦς*) *σημαίνει τὸν ἀδελφὸν τοῦ Ἀλκαίου· γίνεται παρὰ τὸ κίκυς κτλ.* Scribendum *Κῖκις*, sed utrum proprium fuerit nomen an appellativum ambigi licet.

138.

Choerob. Epimer. I 282 (Bekk. An. III 1389): *Κίνδυν, κίνδυνος· οὕτω δὲ ἔφη Σαπφὼ τὸν κίνδυνον· ὁ γοῦν Ἀλκαῖος τὴν δοτικὴν ἔφη τῷ κινδύνῳ.* legendum *κίνδυνι.* et sic cod. Marc. (Gaisford Praef. Et. M. VIII).

139. [38.]

Athen. XI 478 B: *Τὰ μονωτὰ ποτήρια κότυλοι, ὧν καὶ Ἀλκαῖος μνημονεύει.* Welcker ad comicum retulit.

140. [111.]

Eust. Od. 1648, 5: *Καὶ ἐκ τοῦ κτείνω κταίνω Δωρικώτερον παρ' Ἀλκαίῳ.*

141. [96.]

Pollux IV 169: *Κύπρον δὲ τὸ οὕτω καλούμενον μέτρον εὕροις καὶ παρὰ Ἀλκαίῳ ἐν δευτέρῳ βιβλίῳ μελῶν.* Eadem leguntur X 113.

142. [104.]

Phot. 264, 13: *Μετρῆσαι ἐπὶ τοῦ ἀριθμῆσαι· Ἀλκαῖος.* Comico poetae tribuit Meineke, at haud dubie est lyrici, cf. Theocriti XVI 60: *ἀλλ' ἴσος γὰρ ὁ μόχθος ἐπ' ᾀόνι κύματα μετρεῖν*, idem in carmine aeolico, quod nuper edidi, v. 25: *ὄττις δοκίμοι τὸν φολομάχανον νικάσειν ἔρον, οὗτος δοκίμοι τοὶς ὑπὲρ ἄμμεων μετρεῖν βραϊδίως ἀστέρας.* ita enim ibi scripsi, cum in codice sit *εὑρεῖν*.

143. 73

Et. M. 344, 6: *Ἔννεον· ἔστι ῥῆμα νέω· ὁ παρατατικὸς ἔνεον καὶ πλεονασμῷ τοῦ ν ἔννεον.* ubi Sylburg *ναίω*, D *νεῶ*, contra V: *τὸ ῥῆμα νέω· Ἀλκαῖος αὐτῆς ἐπεὶ χείρεσσι νέον.* Sed Alcaei nomen ab hoc loco alienum videtur, prior glossa *ἔννεον* ad Il. φ 11 referenda, verba autem, quae Alcaeo tribuuntur, sunt petita ex Od. ε 344: *Κάλ-*

λιπ'· ἀτὰρ χείρεσσι νέων ἐπιμαίεο νόστου (cf. Cramer An. Ox. I 292 et 298). *Alcaei* igitur exemplum intercidit, nisi forte potius *Alcmanis* nomen substituendum, nam fortasse Alcman hunc Homeri versum expressit in eo carmine, cuius reliquiae supersunt fr. 28 seq. Olim existimavi Alcaei nomen pertinere ad praecedentem glossam Etymologi M. ἔννη, ita ut Alcaeo vindicandum sit fr. Lyr. Inc.: Μᾶλις μὲν ἔννη, λεπτὸν ἔχοισ' ἐπ' ἀτράκτω λίνον.

144. [120.]

Priscian. VII 7: „in foemininis (om. cod. Halberst. estque aperte falsum, atque omisit nunc etiam Hertz) etiam Alcaeus Νήρη pro Νήρης posuit, et Theopompus Χάρη pro Χάρης." Νήρη pro Νήρης Hertz scripsit, in libris est *NEPH*, *NEPE*, *nepe*, *nephe*.

145.

Herodian. περὶ μον. λέξ. 24, 6: Οἱ γὰρ περὶ Ἀλκαῖον ὄϊδα λέγουσι τρισυλλάβως. Cf. Steph. Byz. v. Καρία.

146. [115.]

Schol. Arist. Av. 1648: Διαβάλλεται . . . ἐπὶ τοῦ ἐξαπατᾶν . . . παρόμοιον δὲ καὶ τὸ Ὁμηρικὸν ... καὶ παρ' Ἀλκαίῳ· παραβάλλεταί σε. Comico tribuit Meineke: ego nihil decernere audeo; Aeolenses etiam διαβάλλειν eodem modo usurpasse testatur Hesychius: ζαβάλλειν· ἐξαπατᾶν,

147. [110.]

Cram. An. Ox. I 366, 22: Ἢ ἀπὸ τοῦ πέφυγα ἡ μετοχὴ πεφυγώς· ὁ γοῦν Ἀλκαῖος μετατιθεὶς τὸ σῖγμα εἰς τὸ ν̄ κατὰ πλεονασμὸν ἑτέρου γ̄ φησὶ πεφύγγων· Eust. Od. 1596, 5 ex Alcaeo profert πεφύγγω. Σικελοὶ κατ' Ἡρακλείδην τὸ ᾱ τῶν περισπωμένων εἰς ω̄ μετατιθέασιν, οἷον πεποίηκα, πεποιήκω· οὕτω δὲ καὶ πέφυγα, πεφύγω καὶ κατὰ Ἀλκαῖον πεφύγγω. Cf. Favor. 357. At πεφύγγων etiam Cram. An. Ox. I 325, 30 tuetur: ac Lesbiis sola illa participii forma usitata fuisse videtur, quemadmodum est in titulo ap. Conze Iter Lesb. tab. VIII 2: κατεληλύθοντος, atque huc referenda Homericum κεκλήγοντες, Pindarica πεφρίκοντες et κεχλάδοντες. Non recte L. Hirzel de dial. Aeol. p. 50 praesentis temporis participium πεφύγγων esse iudicat.

148.

Herodian. περὶ μον. λέξ. 44, 10: Πιέζω . . . προσέθηκα δὲ καὶ τὰς διαλέκτους, ἐπεὶ παρ' Ἀλκαίῳ διχῶς λέγεται, παρὰ δὲ Ἀλκμᾶνι διὰ τοῦ ᾱ. Itaque Alcaeus et πιέζω et πιάζω dixit.

149. [119.]

Trypho Mus. Cant. I 34: Προστίθεται δὲ τὸ δίγαμμα παρά τε Ἴωσι καὶ Αἰολεῦσι καὶ Δωριεῦσι καὶ Λάκωσι καὶ Βοιωτοῖς, οἷον ἄναξ ϝάναξ, Ἑλένα ϝέλενα· προστιθέασι καὶ (Ahrens δὲ) τοῖς ἀπὸ

φωνηέντων ἀρχομένοις, ἅπαξ δὲ παρ' Ἀλκαίῳ τὸ ῥῆξις Ϝρῆξις εἴρηται. unde Lascaris repetiit fol. 133.

150. 73

Eust. Od. 1571, 43: Τῶν τις δὲ μεθ' Ὅμηρον τὸ μὲν μῆλον δωρίσας εἰς μᾶλον, τὴν δὲ ὄψιν εἰς εἶδος μεταλαβὼν καὶ μεταθεὶς τὰς λέξεις, Ἀλκαῖος δ' ἐκεῖνος ἦν ὁ κωμικός, εἰδομαλίδην ἔφη σκωπτικῶς τινα, διὰ τὸ καλλωπίζεσθαι τὰ μῆλα τῆς ὄψεως, ἐρευθόμενον δηλαδὴ κορικώτερον. Cf. p. 1412, 32. Videtur comicum cum lyrico confudisse, conf. Schol. Il. χ 68: Αἰολεῖς δὲ τὸ πρόσωπον (ῥέθος), καὶ ῥεθομαλίδας τοὺς εὐπροσώπους φασί. Apud Hesychium est ἰδομαλιάδαι· οἱ τὰς ὄψεις κοσμούμενοι.

151. [118.]

Athen. III 73 E: Ἀττικοὶ μὲν οὖν ἀεὶ τρισυλλάβως, Ἀλκαῖος δὲ δάκῃ φησὶ τῶν σικύων ἀπὸ εὐθείας τῆς σίκυς, ὡς στάχυς, στάχυος. Welcker maluit comico tribuere.

152.

Cram. An. Ox. I 342, 1: Ἀπὸ τῶν εἰς ος τὴν τεμένηος παρα Ἀλκαίῳ ἅπαξ χρησαμένῳ.

153. [83.]

Hesych.: Τετραβαρήων πλίνθων καὶ τάγματα· Ἀλκαῖος. sic cod., vulgo τετραβαρῆ. unde Salmasius Τετραβαρῆ πλίνθον· καὶ κατάταγμα Ἀλκαῖος vel τετραβαρῆ πλίνθων τάγματα, Vossius Τετραβαρῆ· πλίνθων κατάταγμά τι. Mihi Alcaeus scripsisse videbatur:

Πλίνθων τετραβαρήων κατὰ τάγματα.

quam formam τεμένηος fr. 152 tuetur, vel τετραβαρηᾶν, quemadmodum apud Homerum est χαλκοβάρεια. At adiectivum τετραβαρής omnino vix poterat fingi, lateres τετράγωνοι vel τετράγκωνες dici poterant; sed suspicor poetam scripsisse τετραμαρήων, ut μάρη eodem modo sit dictum, quo παλαιστή sive δῶρον, ac πλίνθους τετραδώρους in usu fuisse testatur Vitruvius.

154. [116.]

Hesych.: Τετράδων· ὄρνεόν τι· Ἀλκαῖος. Cf. ib. Τετράων· ὄρνις ποιός. et Τετραῖον· ὀρνιθάριόν τι Λάκωνες. adde Athen. XIV 654 C. Fortasse Ἀλκμὰν scribendum. Olim suspicatus sum verba, quae continuo apud Hesychium sequuntur, quaeque pro peculiari glossa habentur: Τετράδυσιν· ἀηδόνα (cod. ἀηδόνας) huc pertinere, ut ipsius poetae sint verba sic scribenda:

Τετράδοσιν ἀήδονας.

quamquam fuit, cum Alcaei nomen potius ad glossam sequentem spectare putarem: Τετραέλικτον ἅλμαν· ἤγουν τρικυμίαν. cf. quae ad Alcaei fr. 19 adnotavi.

155. [109.]

Eust. Il. 1155, 40: *Τείρεα δὲ ἢ παρὰ τὸ εἴρειν γίνεται τὸ λέγειν, ἔχουσι γάρ τινα σημασίαν, ὡς καὶ Ἄρατος δηλοῖ, ἢ ... παρὰ τὸ τείρειν, καθὰ καὶ τοῦτο ἐν τοῖς τοῦ Γεωργίου κεῖται· πολλοὶ γάρ, φησίν, ἐκ τῶν ἀστέρων καταπονοῦνται γινόμενοι ἀερόβλητοι, ὡς ἐκ τῆς βροντῆς ἐμβρόντητοι· ἐφανέρωσε δέ, φησί, τὸ ε Ἀλκαῖος εἰπὼν τερέων δίχα τοῦ ι.* Cf. Cram. An. Par. IV 192, 10, ubi *τείρεων* affertur.

Alcaei nomen nescio an in Achaei locum etiam apud Hesychium sit substituendum: *Δίχολοι· διάφοροι. Ἀχαιός· καταπεῖραι δίχολοι γνῶμαι* (cod. *διχολογνῶναι*), *παρὰ τὸ δίχα, ἢ δίτροποι κατὰ μετάληψιν. χόλος γὰρ ἡ ὀργὴ καὶ (ὀργὴ ὁ) τρόπος· Βακχυλίδης· ὀργαὶ μὲν ἀνθρώπων διακεκριμέναι.* nam cum Schol. Hippocr. T. V 484 ed. Littré haec exhibeat: *ὀργᾶν, ὀρέγεσθαι, ἐπιθυμεῖν τῆς συνουσίας· ὀργὰς γὰρ τοὺς τρόπους ἐκάλουν οἱ ἀρχαῖοι* (codd. plerique *ἀχαιοὶ*) *ὡς καὶ Ἀλκμὰν φησίν· ἐν μὲν ἀνθρώπῳ ὀργαὶ κεκριμέναι μυρίαι.* permirum est Alcmanis et Bacchylidis nomina confusa esse: cuius erroris origo inde videtur repetenda, quod grammaticus, ex cuius auctoritate omnes suspensi sunt, ut significationem vocum *χόλος* et *ὀργή* explicaret, illam vocem Alcmanis, hanc Bacchylidis versu illustraverat: apud Hesychium, qui solus utrumque testimonium servavit, Alcmanis nomen cessit Achaeo, Zenobius III 25 tantum Bacchylidis auctoritate utitur, item scholiasta Hippocratis, sed is temere Alcmani tribuit versum Bacchylideum. Ceterum Nauck in Hesychio corrigere maluit *Αἰσχύλος Καβείροις· δίχολοι γνῶμαι.* — Apud Hesychium: *Ἀμηνίτως· ἀμέμπτως. Ἀχαιοί. ἅμα ἡμέρᾳ, ἀλκαιῶνι ἅμ' ἠοῖ·* corrigunt *ἅμ' ἠοῖ· παρ' Ἀλκαίῳ, ἅμ' ἡμέρᾳ.* sed rectius Schmidt haec ad priorem glossam revocavit scribens *Ἀμηνίτως· ἀμέμπτως· Ἀχαιὸς Ἀλκμαίωνι.* — Antea Alcaeo tribui versum, quem exhibet Tricha de metr. 19, 20 (repetit p. 20): *ἃ καὶ Ἀλκαϊκὰ καλεῖται, ὡς τοῦ Ἀλκαίου κατακόρως αὐτοῖς χρησαμένου, οἷόν ἐστι τό·*

Καὶ θεὸν ἀμερίοις βροτοῖσιν.

putabam enim illum hunc versiculum inseruisse carmini, quod opusculo suo praemisit, p. 2: *Καὶ θεὸν ἀμερίοισι βροτόσωμον* (fort. *βροτοῖσι μόνον*) *φανέντα*, sed Tricha hunc quoque versum ipse finxit, omnino praeter Homeri, Hesiodi, Theocriti paucissimos versus nihil ex antiquis poetis adscripsit. — Alcaei melici poetae nomen a comico non semper certo distinguere licet, velut quod Et. M. 521, 35 affert *Ἀλκαῖος· Μὴ μέγαν περὶ κνάφον περιστείχει ἕνα κύκλον* (Et. Gud. 330, 21: *μὴ μέγαν περικνάφον παραστίχειν ἕνα κύκλον*) Matthiae et Meineke comico poetae tribuunt, Ahrens lyrico vindicans scribit: *μὴ σὺ μέγαν περὶ Κνάφον περίστειχ' ὂν κύκλον.* Quod si lyrici est, possis coniicere:

Μὴ μέγαν σὺ περὶ κνάφον
περστείχην ἕνα κύκλον.

ubi Hartung *περίστειχ' ἕν' ἀεὶ κύκλον* praeoptat. At *ἀλαζών*, quod gramm. Bekk. I 374 ex Alcaeo affert, aperte comici est. — Contra nescio an lyrici poetae sit, quod legitur apud Athen. VII 316 B inter exempla ex comicis poetis petita: *Ἀλκαῖος· ἔδω δ' ἐμαυτὸν ὡς πουλύπους* (eadem Eust. 1541, 34): nam valde perturbata videntur exempla quae ibi afferuntur, et supra dixerat: *τὸ δὲ πώλυπον λέγειν Αἰολικόν· Ἀττικοὶ δὲ πουλύπουν λέγουσιν.* Potuit lyricus dicere:

Ἔδω δ' ἔμαυτον ὡς (πόδα) πώλυπος.

nisi forte duo diversa fragmenta in unum coaluerunt, unum Alcaei lyrici:

Ἔδω δ' ἔμαυτον (πωλύποδος δίκαν.)

alterum nescio cuius poetae .... *ὡς πουλύπους.* cf. Hesychius: *πουλύποδος δίκαν· ὅτι αὐτὸς τὰς ἑαυτοῦ πλεκτάνας ἐσθίει.* — Proverbium, quod Zenob. V 30 ex Alcaeo affert, *Ὁ Κρὴς τὴν θάλασσαν*, *Alcmanis* potius est, vid. Alcman fr. 112. — Scolion de Admeto, quod nonnulli grammatici Alcaeo tribuunt, Praxillae esse videtur, cf. Praxillae fr. 3. — Quod Schneidewin dicit ap. Schol. Horatii Carm. I 3, 9: *illi robur et aes triplex* adnotatum esse in editione Fabricii, illum versum ex Alcaeo expressum esse, ego quidem nihil reperi in editione Fabricii. — Epigrammata Alcaei nulla sunt: extant quidem in Anthol. Pal. quatuor epigrammata Alcaeo Mitylenaeo tributa (VI 187, 218. VII 5, 429) quibus adde VII 55: *Ἀλκαίου ποιητοῦ Μιτυληναίου ἢ Μεσσηνίου.* *) quae quidem manifesto a lyrico poeta aliena sunt, neque tamen assentiendum Iacobsio, qui carmina ad Alcaeum Messenium referre **) voluit, sed potius de iuniore Mitylenaeo cogitandum, cf. Tzetz.

---

*) Anth. Pal. VI 187 inscriptum a m. pr. *εἰς τὸ αὐτὸ ἀλκαίου ΜΙΤΥΛΙΝΑΙΟΥ*, sed in poetae nomine media syllaba *και* est a m. sec. in rasura restituta; equidem hoc epigramma Alcaeo omnino abiudicandum existimo, fuit opinor *Ἀλφειοῦ*, atque ita Planudes exhibet: nam quod fortasse aliquis praeferat *Ἀδδαίου*, quoniam hoc nomen eundem accentum prae se ferat, Addaeus poeta Mitylenaeus nullus omnino videtur fuisse: unum epigr. VII 305, quod *Ἀδδαίου Μιτυληναίου* inscribitur (nova collatione hic careo) *Alcaei Mitylenaei* esse puto: ex iis quae simpliciter *Ἀδδαίου* inscripta sunt, quae vulgo ad Adaeum Macedonem referri solent, duo (IX 544. X 20) elegantis ingenii poeta indigna, fortasse item *Alcaei* Mitylenaei sunt. — VI 218 pr. m. *εἰς τὸ αὐτὸ ἀλκαίου*, m. s. addidit *μιτυλιναίου*. VII 5 pr. m. *εἰς τὸν αὐτὸν ἄδηλον*, m. s. *οἱ δὲ φασιν ἀλκαίου μιτυληναίου*. VII 429 m. pr. *ἀλκαίου μιτυληναίου*, quibus a secunda et tertia manu alia subiecta sunt, quae vide apud Iacobsium. (Usque ad VII 428 librarius adnotavit se contulise hanc Anthologiam cum exemplo Michaelis, sed nescio a qua manu haec adscripta sint.) — VII 55 pr. m. *εἰς τὸν αὐτὸν ἀλκαίου*, m. s. *ποιητοῦ μιτυληναίου ἢ μεσσηνίου*. Etiam nunc dubito an hoc epigramma in Hesiodi honorem conditum Alcaeo Messenio recte tribuatur, certe non prodit ingentem spiritum, quem in germanis Messenii epigrammatis fere deprehendimus, etiam in epigr. in Homerum Anth. Pal. VII 1, quod m. pr. simpliciter *Ἀλκαίου* nomine exhibet, sed m. 2 *ποιητοῦ μεσσηνίου* addidit, eadem vero m. 2, quod mireris, subiecit *οὗτος ὁ ἀλκαῖος οὐκ ἦν ὁ μιτυληναῖος ὃς ἦν ἐν τοῖς χρόνοις πιττακοῦ*.

**) Alcaeo Messenio tribuo epigramma adespoton Anth. Plan. I 6 :

Proleg. in Lycophr., ubi in numerum epigrammatographorum refertur *Ἀλκαῖος ὁ νέος, ὃς ἦν ἐπὶ Οὐεσπασιανοῦ τοῦ Ῥωμαίου καὶ Τίτου.* — Denique quod est ap. Apostol. XVI 50: *τὴν ἀρχὴν οὐ δυνήσῃ τῷ τέλει συνάψαι· ὁ μὲν Ἀλκμαῖος τοῦτ' ἔφη, τὸ τοὺς ἀνθρώπους ἀπόλλυσθαι μὴ δυναμένους τὴν ἀρχὴν τῆς ζωῆς τῷ τέλει προσάψαι· κύκλος γὰρ ἦν.* ibi nunc recte *Ἀλκμαίων* restitutum est, sunt enim haec ex Aristot. Probl. XVII 3 descripta.

Κοίρανος Εὐρώπας, ὁ καὶ εἰν ἁλὶ καὶ κατὰ χέρσον
τόσσον ἄναξ θνατῶν, Ζεὺς ὅσον ἀθανάτων,
Εἰνοδίᾳ τὰ λάφυρα κατὰ θρασέος Κιροάδα
καὶ τέκνων καὶ ὅλας γᾶς ἔθετ' Ὀδρυσίδος,
υἱὸς ἐϋμμελία Δαματρίου· ἁ δὲ Φιλίππου
δόξα πάλαι θείων ἄγχι βέβακε θρόνων.

hi enim versus prorsus Messenii poetae ingenium referunt, sed ambigo ad quodnam tempus epigramma referendum sit: Philippum novissimis imperii annis cum Odrysis bellum gessisse constat: sed tamen huic tempori istud quidem praeconium non satis convenit, neque tunc ab Alcaeo poterant haec scribi, quamquam poetae animus minime constans fuit: videtur igitur Philippus iam antea expeditionem adversus Odrysas suscepisse, scripsitque haec Alcaeus eo tempore, quo Philippi partes sequebatur. Eiusdem Alcaei haud dubie sunt duo poematia, quae Plutarchus vit. Flamin. c. 12 servavit, id quod etiam Hecker existimavit. Denique Alcaeo vindicaverim epigramma Anth. Pal. VI 171, quod videtur adolescens condidisse, antequam Rhodiorum colossus terrae motu eversus est.

IX. 736

PITTACUS.

⏑ –́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ –
– –́ ⏑ ⏑ – ⏑ ⏑ –
– –́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ –
⏑ –́ ⏑ ⏑ – ⏑ ⏑ – ⏑ –́ ⏑ – ⏑ – ⏓

Ἔχοντα δεῖ τόξον τε καὶ ἰοδόκον φαρέτραν
στείχειν ποτὶ φῶτα κακόν·
πιστὸν γὰρ οὐδὲν γλῶσσα διὰ στόματος
λαλεῖ διχόμυθον ἔχουσα καρδίᾳ νόημα.

Pittacus. Diog. Laert. I 78: *Τῶν δὲ ᾀδομένων αὐτοῦ* (*Πιττακοῦ*) *μάλιστα εὐδοκίμησε τάδε· Ἔχοντα κτλ.* — V. 1. *δεῖ*, Cobet *χρὴ* ut videtur ex coniectura, ego *δεῖ*, quod neque versus numerus neque instituta sententia desiderat, de medio tollendum censeo. — *τόξον τε καὶ* scripsi, vulgo *τόξον καὶ*, Hermann *τόξα*. — *φαρέτραν*, Cobet *φαρέτρην*, si poeta paenultimam produxit, numerus logaoedicus erit, sed fortasse *φαρέτερραν* scribendum, quam formam agnoscit Et. M. 787, 38: *φαρέτρα ἡ βελοθήκη . . . ἡ γενικὴ τῶν πληθυντικῶν φαρετρῶν, ἰωνικῇ διαλέκτῳ φαρετρέων. ὑπερθέσει καὶ διπλασιασμῷ γίνεται φαρετέρρων.* quae ex Herodiani opere *περὶ παθῶν* decerpta sunt, nec tamen *φαρετέρρων* paroxytonon fuit, nisi forte hoc vocabulum etiam neutro genere dicebatur. Apud Hesychium scribendum videtur *φαρέτρα·* (*ἡ*) *βελοθήκη*, (*καὶ*) *φαρετρεών·* (*φαρετροφόρος*)*· τοξότης*, quae Schmidt non recte constituit. Hartung scripsit *ἔχοντα τόξον κἰοδόκον φαρέτραν δεῖ.* — V. 2. *ποτὶ*, ed. Frob. *ἐπὶ*. — V. 4. *διχόμυθον*, Cobet *διχόθυμον.* — *καρδίᾳ*, *καρδίῃ* Ilgen, vulgo *κραδίῃ*, ed. Frob. *κραδίην*. Mihi scribendum videtur *διχόθυμον ἔχουσι καρδίᾳ νόημα.* — Schneidewin praeeunte Casaubono hoc Pittaceum, sicut cetera septem Sapientum, quae sequuntur, subditicia censet; Rossbach et Westphal doctr. Metr. III 415, si numerorum ratio habeatur, hoc certe carmen germanum esse arbitrantur. Mihi Pittaci, Biantis, Chilonis, Thaletis cantilenae antiquitatis laude non fraudandae esse videntur, sed utrum ab iis, quorum nomine circumferebantur, an ab aliis conditae sint, id nemo poterit diiudicare.

X.

BIAS.

— —́ ⏑ ⏑ — ⏑ — ⏑ —́ ⏑ ⏑ — ⏑ ⏑ —
— —́ ⏑ ⏑ — ⏑ ⏑ — — —́ ⏑ ⏑ ⏓
—́ ⏑ ⏑ — ⏑ ⏑ — —́ ⏑ — ⏑ — —

Ἀστοῖσιν ἄρεσκε πᾶσιν, ἐν πόλει αἴκε μένῃς·
πλείσταν γὰρ ἔχει χάριν· αὐθάδης δὲ τρόπος
πολλάκι (δὴ) βλαβερὰν ἐξέλαμψεν ἄταν.

XI. 737

CHILO.

—́ ⏑ ⏑ — ⏑ ⏑ — ⏑ —́ ⏑ — ⏑ —́ ⏑ —
⏑ —́ ⏑ ⏑ — ⏑ ⏑ —
—́ ⏑ — —
— —́ ⏑ ⏑ — ⏑ ⏑ — ⏑ —́ ⏑ — ⏑ — ⏓

Ἐν λιθίναις ἀκόναις ὁ χρυσὸς ἐξετάζεται
διδοὺς βάσανον φανεράν·
ἐν δὲ χρυσῷ
ἀνδρῶν ἀγαθῶν τε κακῶν τε νοῦς ἔδωκ' ἔλεγχον.

Bias. Diog. Laert. I 85: *Τῶν δὲ ᾀδομένων αὐτοῦ (Βίαντος) εὐδοκίμησε τάδε· Ἀστοῖσιν κτλ.* — V. 1. *ἄρεσκε*, nescio an *ἀρέσκεο* scribendum sit, ut hic quoque logaoedicus numerus ex errore sit ortus, quamquam *ἀρέσκεσθαι* alias accusandi casum sibi adiungit. — V. 3. *δὴ* adieci praeeunte C. Fr. Hermanno. Hartung transposuit *βλαβεραν | πολλάκις ἐξ. ἄταν.*

Chilo. Diog. Laert. I 71: *Τῶν δὲ ᾀδομένων αὐτοῦ (Χείλωνος) μάλιστα εὐδοκίμησεν ἐκεῖνο· Ἐν λιθ.* — V. 1. *ἐν μὲν* in proecdosi scripsi. — V. 2. *νοῦς*, malim *νόος*. Hartung sic traiecit *ἐν δὲ χρυσῷ νοῦς ἀγαθῶν τε κακῶν τ' ἀνδρῶν ἔδωκ' ἔλεγχον.*

XII.

THALES.

–́ ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ – ⏓
–́ ⏑ ⏑ – ⏑ ⏑ ⏓
–́ ⏑ – ⏑ – –
– –́ ⏑ – – –́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ –

Οὔ τι τὰ πολλὰ ἔπη φρονίμην ἀπεφήνατο δόξαν·
ἕν τι μάτευε σοφόν,
ἕν τι κεδνὸν αἱροῦ·
παύσεις γὰρ ἀνδρῶν κωτίλων γλώσσας ἀπεραντολόγους.

XIII.

CLEOBULUS.

1.

⏑ –́ ⏑ – –́ ⏑ ⏑ – ⏑ ⏑ – ⏑ – ⏓
⏑ –́ ⏑ – ⏑ –́ ⏑ – ⏑ –́ ⏑ –
⏑ –́ ⏑ – – –́ ⏑ – ⏑⏑́ ⏑ – ⏑ – –

Ἀμουσία τὸ πλέον μέρος ἐν βροτοῖσιν 738
λόγων τε πλῆθος· ἀλλ' ὁ καιρὸς ἀρκέσει.
φρόνει τι κεδνόν· μὴ μάταιος ἄχαρις γενέσθαι.

Thales. Diog. L. I 35: *Τῶν δὲ ᾀδομένων αὐτοῦ* (*Θάλεω*) *τάδε εἶναί* (*φησι Λόβων ὁ Ἀργεῖος*)· *Οὔτι κτλ.* — V. 1. *πολλὰ ἔπη*, malim *πολλὰ ἔπεα*, antea *πόλλ' ἔπεα* scripsi. — *φρονίμην*, vulgarem formam intactam reliqui, nam fortasse gravius hic vitium delitescit. — V. 2. *μάτευε* codd. Mon. Ar., *μάστευε* codd. Steph., *μάντευε* edd. vett. — V. 3. Hartung traiecit post v. 4. — V. 4. *παύσεις* scripsi, legebatur *λύσεις*, Schneidewin *κλείσεις*, Cobet *βύσεις*.

Cleobulus. Fr. 1. Diog. L. I 91: *τῶν δὲ ᾀδομένων εὐδοκίμησεν αὐτοῦ τάδε· Ἀμουσία κτλ.* — V. 1 etiam Suid. v. *Κλεόβουλος*. — V. 2. *ἀρκέσει*, fort. *ἀρκέει*. — V. 3 Hartung tamquam subditicium can-

2.

Εἷς ὁ πατήρ, παῖδες δὲ δυώδεκα· τῶν δὲ ἑκάστῳ
παῖδες δὶς τριήκοντα διάνδιχα εἶδος ἔχουσαι·
αἱ μὲν λευκαὶ ἔασιν ἰδεῖν, αἱ δ' αὖτε μέλαιναι·
ἀθάνατοι δέ τ' ἐοῦσαι ἀποφθινύθουσιν ἅπασαι.

cellis sepsit, ego antea separavi a praegressis. Emperius coniungens cum prioribus scripsit, *ἀλλ' ὁ καιρὸς ἀρκέσει φρονεῖν κτλ.* quemadmodum iam Menagius *ἂν δ' ὁ καιρὸς ἀρκέσῃ, φρόνει.* — *γενέσθαι* scripsi, *γενέσθω* Emperius, v. *γινέσθω.* Praeterea Stephanus *ἁ χάρις*, Kühn *μὴ ματαίως*, M. Casaubonus *μὴ μαθὼν* coniecerunt. Atque sane librorum lectio neque institutae sententiae satis convenit, neque per se probabilis: conieci *μὴ ματαιόχαρις γενέσθαι*, nam quod fortasse aliquis praeoptaverit *μὴ μάταιος ἁ χάρις γενέσθω* Emperii lectionem (Menagius idem proposuit, nisi quod *ἡ* et *γενέσθω* scripsit), a librorum quidem scriptura propius abest, sed alienum ab hoc loco. Ceterum quamquam Diogenes hanc quoque cantilenam ex Lobonis Argivi libro petiisse videtur, valde dubito, an sit antiqua.

Fr. 2. Diog. L. I 90: *φέρεται δ' αὐτοῦ ἐν τοῖς Παμφίλης ὑπομνήμασι καὶ αἴνιγμα τοῖον· εἷς κτλ.* et similiter Stob. Ecl. Phys. I 8, 37. Sed Suidas v. *Κλεοβουλίνη* (cf. Eudoc. 272) *filiae* tribuit: *ἔγραψεν ἔπη καὶ γρίφους καὶ τὸ ᾀδόμενον εἰς τὸν ἐνιαυτὸν αἴνιγμα, οὗ ἡ ἀρχή· εἷς . . . τριάκοντα*, sed Anth. Pal. XIV 101: *Κλεοβούλου αἴνιγμα.* — V. 1. *δὲ δυώδεκα*, codd. Stephani *δυοκαίδεκα*, cod. Pal. Anth. *δυωκαίδεκα.* — *τῶν δὲ* cod. Mon. Suid. Eud., vulgo *τῶν δέ θ'.* — *ἑκάστῳ*, Eud. *ἑκάστων*, cod. Pal. *ἑκάστῃ.* — V. 2. *δὶς τριήκοντα* cod. Pal., *δὶς τριάκοντα* Diog. (cod. Mon. *τριήκοντα*), *τριάκοντα* Suid. Eud., *κάρα (κοῦραι) ἑξήκοντα* Stob. — Ad Cleobulum fortasse etiam alia aenigmata quae anonyma tradita sunt, referenda, vide quae dixi Comment. de Comoed. Att. p. 112. Denique fuerunt, qui ad Cleobulum referrent nobile illud epigramma in Midae sepulcro, quod vulgo Homero tribuitur, *Χαλκῆ παρθένος εἰμὶ κτλ.*, vid. Diog. L. I 89, sed testimonium Simonidis, quo illi usi sunt, satis ambiguum. — Ex gnomis, quas Demetrius Phalereus ap. Stob. III 79 ad Cleobulum refert, praeter nobile illud *Μέτρον ἄριστον*, de quo vide Leutsch Paroem. II 81 (nam Pseudophocylidis versus 36 *πάντων μέτρον ἄριστον· ὑπερβασίαι δ' ἀλεγειναί* si ex antiquo petitus poeta, ad Phocylidem ipsum potius, quam ad Cleobulum referendus) numerorum vestigia deprehenduntur in uno apopthegmate:

Γυναικὶ μὴ μάχεσθαι, μηδὲ σωφρονίζειν
ἀλλοτρίων παρεόντων·
τὸ μὲν γὰρ ἄνοια, τὸ δ' αὖ μανίαν δύναται παρέχειν.

sic enim videtur scribendum, apud Diog. I 92 legitur: *γυναικὶ μὴ φιλοφρονεῖσθαι, μηδὲ μάχεσθαι, ἀλλοτρίων παρόντων· τὸ μὲν γὰρ ἄνοιαν, τὸ δὲ μανίαν σημαίνειν*, at Stobaeus Flor. III 79 haec auctore Demetrio Phalereo affert: *γυναικὶ μὴ μάχεσθαι, μηδ' ἄγαν φρονεῖν* (AB *σωφρονίζειν*, sed ex corr. uterque) . . . *παρόντων· τὸ μὲν γάρ ἐστι χέρηον* (A *γὰρ ἄνοια.* B a m. sec. et margo Gesn. *γὰρ ἄνοιαν*), *τὸ δὲ μανίαν δύναται παρέχειν* (margo Gesn. *μανίαν σημαίνει*). Hartung *γυναικὶ μάχεσθαι | μήτε φιλοφρονεῖν δεῖ | ἀλλοτρίων παρεόντων· | τὸ μὲν γὰρ ἄνοιαν, τὸ δ' αὖ μανίαν ἔχει.* Idem Hartung etiam epistolam Cleobuli, quae fertur, ap. Diog. I 93 in versus heroicos redigere conatus est.

XIV.

ECHEMBROTUS.

Ἐχέμβροτος Ἀρκὰς ἔθηκεν
τῷ Ἡρακλεῖ,
νικήσας τόδ' ἄγαλμα
Ἀμφικτυόνων ἐν ἀέθλοις,
Ἕλλησι δ' ἀείδων
μέλεα καὶ ἐλέγους.

XV.

SACADAS.

ΙΛΙΟΥ ΠΕΡΣΙΣ.

Athen. XIII 610 C: *Καὶ ἐὰν μέν τίς σου πύθηται, τίνες ἦσαν οἱ εἰς τὸν δούριον ἵππον ἐγκατακλεισθέντες, ἑνὸς καὶ δευτέρου ἴσως ἐρεῖς ὄνομα· καὶ οὐδὲ ταῦτ' ἐκ τῶν Στησιχόρου, σχολῇ γάρ, ἀλλ' ἐκ τῆς Σακάδα τοῦ Ἀργείου Ἰλίου πέρσιδος· οὗτος γὰρ παμπόλλους τινὰς κατέλεξεν.* uti Casaubonus correxit, A *σακάτου ἀργείου,* PVL *ἀκάτου ἀργείου.*

Echembrotus. Pausan. X 7, 6: *Μαρτυρεῖ δέ μοι καὶ τοῦ Ἐχεμβρότου τὸ ἀνάθημα, τρίπους χαλκοῦς ἀνατεθεὶς τῷ Ἡρακλεῖ τῷ ἐν Θήβαις· ἐπίγραμμα δὲ ὁ τρίπους εἶχεν· Ἐχέμβροτος κτλ.* quae in ordinem digessi v. 3 *ἄγαλμα* scribens ex VaAgLb pro *ἄγαλμ',* v. 4 *ἀέθλοις* cum Ignarra et La a m. pr. pro *ἄθλοις* et v. 5 *Ἕλλησι* ex Ax KPCPadLbLa pro *Ἕλλησιν.* Ceterum v. 1 codd. *θῆκε* vel *θ' ἧκε,* v. 2 *τῷ* add. SBVabMAgPacdLab, vulgo om. — V. 5 Hecker *αὐλοῖσι προσᾴδων* requirit. Frustra haec in hexametros redigere conati sunt.

XVI.

XANTHUS.

ΟΡΕΣΤΕΙΑ.

1.

Aelian. V. H. IV 26: *Ξάνθος ὁ ποιητὴς τῶν μελῶν … ἐγένετο δὲ οὗτος πρεσβύτερος Στησιχόρου τοῦ Ἱμεραίου … λέγει τὴν Ἠλέκτραν τοῦ Ἀγαμέμνονος οὐ τοῦτο ἔχειν τοὔνομα πρῶτον, ἀλλὰ Λαοδίκην· ἐπεὶ δὲ Ἀγαμέμνων ἀνῃρέθη, τὴν δὲ Κλυταιμνήστραν ὁ Αἴγισθος ἔγημε, καὶ ἐβασίλευσεν, ἄλεκτρον οὖσαν καὶ καταγηρῶσαν παρθένον Ἀργεῖοι Ἠλέκτραν ἐκάλεσαν διὰ τὸ ἀμοιρεῖν ἀνδρὸς καὶ μὴ πεπειρᾶσθαι λέκτρου.* Cf. Athen. XII 513 A: *πολλὰ δὲ τῶν Ξάνθου παραπεποίηκεν ὁ Στησίχορος, ὥσπερ καὶ τὴν Ὀρεστείαν καλουμένην.*

2.

Athen. XII 513 A: *Καὶ Ξάνθος δ' ὁ μελοποιὸς πρεσβύτερος ὢν* 740
Στησιχόρου, ὡς καὶ αὐτὸς ὁ Στησίχορος μαρτυρεῖ, ὥς φησιν ὁ Μεγακλείδης, οὐ ταύτην αὐτῷ (τῷ Ἡρακλεῖ) περιτίθησι τὴν στολήν, ἀλλὰ τὴν Ὁμηρικήν.

XVII.

STESICHORUS.

I. ΑΘΛΑ ΕΠΙ ΠΕΛΙΑι.

1. [1.] *)

–́ – – ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ – –

–́ – – – – – – ⏑ ⏑ . . .

. . . . . ⏑ – ⏑ ⏑ –

⏑⏑́ ⏑ – – –́ ⏑ – – –́ (⏑ ⏓)

Stesichorus. De Stesichori carminibus cf. Welcker Opusc. I 148 seqq. — *Ἆθλα ἐπὶ Πελίᾳ* (vel simpliciter *Ἆθλα*) dubitaverunt veteres grammatici utrum *Stesichori* an *Ibyci* esset carmen, vid. Athen. IV

---

*) Numeri adiecti sunt editionis Kleinianae.

Ἑρμείας Φλόγεον μὲν ἔδωκε καὶ Ἅρπαγον ὠκέα τέκνα
Ποδάργας·
Ἥρα δὲ Ξάνθον καὶ Κύλλαρον. . . . . .
. . . . . ἑλισσομένους
παρὰ σιδαρωτῶν ἐπισσώτρων (ἄκρα.)

2. [2.] 741

–́ ⏑ ⏑ – – – ⏑ ⏑ – ⏑ ⏑
–́ ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ – ⏓

172 D (vid. fr. 2), Athenaeus autem haud cunctanter Stesichoro tribuit, Simonidis usus testimonio (vid. fr. 3). Et fuerunt fortasse etiam alia praeterea carmina, quae alii Ibyco, alii Stesichoro vindicabant, cum partim inter utriusque poesin magna similitudo intercessisse videatur.

Fr. 1. Versus non satis certo restitui possunt, haec enim leguntur in Et. M. 544, 54: *Κύλλαρος· ἵππος Κάστορος, παρὰ τὸ κέλλειν, ὁ ταχύς· Στησίχορος* (carminis titulum addit Sorb. *Στησίχωρος ἐν τῷ πελίοις ἄθλοις*) *τὸν μὲν Ἑρμῆν δεδωκέναι φησὶ Φλόγεον καὶ Ἅρπαγον ὠκέα τέκνα Ποδάργης, Ἥραν δ' Ἑξάλιθον καὶ Κύλλαρον.* Suid. v. *Κύλλαρος· Στησ. φησὶ τὸν Ἑρμῆν δεδωκέναι τοῖς Διοσκούροις· Φλ. καὶ Ἅ. ὠ. τ. Ποδάργας καὶ Κύλλαρον.* Similia Cram. An. Ox. II 456, 15. ubi *Ποδαργάς, Ἥραν δ' Ἐξάλιθον καὶ Κ.* et An. Par. IV 49, 25, ubi *τέκνε Ποδαργᾶς.* Denique haec eadem auctiora, sed non minus depravata exhibet Et. Gud. 353, 22: *Στησίχορος ἐν τοῖς ἐπιπελίοις ἄθλοις* (recte Sturz *ἐπὶ Πελίᾳ ἄθλοις*) *τὸν μὲν Ἑρμῆν δεδωκέναι φησὶ τοῖς Διοσκόροις φλόγεον καὶ ἅρπαγον, ὠ. τ. ποδάργης, Ἥραν δ' ἑλιόμενος παρὰ σιδήρῳ τῶν ἐπισώτρων, ὅ ἐστι τῶν κανθῶν.* in quibus, ut Bernhardy recte vidit, poetae verba delitescunt, sed ne hic quidem locus integer est servatus, verum nonnulla intercidisse manifestum est. — V. 1 Blomfield restituit, alii aliter haec conformaverunt. — V. 2. *Ξάνθον* Hemsterhuys restituit, quod prorsus firmant grammaticorum loci, quos infra adscripsi. — V. 3 et 4 *ἑλισσομένους παρὰ σιδαρωτῶν ἐπισσώτρων* (*ἄκρα*, sive *ἴτυν* malio) scripsi, Et. Gud. *ἑλιόμενος παρὰ σιδήρῳ τῶν ἐπισώτρων*, unde Bernhardy elicuit *ἑλισσομένους παρ' ἐπισσώτρων.* Significavit poeta his verbis equos fuisse *σειραφόρους.* aliquantum diversus Homeri locus Il. ψ 517: *ὅσσον δὲ τροχοῦ ἵππος ἀφίσταται, ὅς ῥά τ' ἄνακτα ἕλκῃσιν πεδίοιο τιταινόμενος σὺν ὄχεσφιν, τοῦ μέν τε ψαύουσιν ἐπισσώτρου τρίχες ἄκραι οὐραῖαι· ὁ δέ τ' ἄγχι μάλα τρέχει, οὐδέ τι πολλὴ χώρη μεσσηγύς, πολέος πεδίοιο θέοντος.* Quae intercepta sunt, fortasse sic sunt redintegranda:

Ἥρα δὲ Ξάνθον καὶ Κύλλαρον, ἐξόχω υἱὲ Θυέλλας,
δῶρα Ποσειδάωνος ἄνακτος, ἑλισσομένους
παρὰ σιδαρωτῶν ἐπισσώτρων (ἄκρα).

nam horum quoque equorum genus et originem poeta videtur indicavisse. cf. Prob. in Virg. Georg. I 12: „Et idcirco etiam poetae tradunt ab eo (Neptuno) equum donatum Adrasto Ariona, et Iunoni Xanthum et Cyllarum, quos illa dederit Castori et Polluci.“ idem ad Georg. III 89: „Pollux autem et Castor Lacedaemone nati sunt, qui existimantur equos accepisse a Iunone muneris nomine, *Ξάνθον καὶ Κύλλαρον*, quos ei Neptunus donaverat.“ . . Adde Philargyr. ad Georg. III 89 et Tertullian. de Spectac. c. 9. Cf. etiam Alcman. fr. 9.

Fr. 2. Athen. IV 172 D: *Πεμμάτων δὲ πρῶτόν φησι μνημονεῦσαι Πανύασιν Σέλευκος, ἐν οἷς περὶ τῆς παρ' Αἰγυπτίοις ἀνθρωποθυσίας διηγεῖται, πολλὰ μὲν ἐπιθεῖναι λέγων πέμματα, πολλὰς δὲ νοσσάδας ὄρνεις, προτέρου Στησιχόρου ἢ Ἰβύκου ἐν Ἄθλοις ἐπιγραφομέ-*

Σασαμίδας χόνδρον τε καὶ ἐγκρίδας,
ἄλλα τε πέμματα καὶ μέλι χλωρόν.

3. [3.]

– –́ ⏑ ⏑ – ⏑ ⏑ –́ ⏑ ⏑ –́ ⏑ ⏑ –́ – – ⏑ ⏑ –́ ⏓

Θρώσκων μὲν ἄρ' Ἀμφιάραος, ἄκοντι δὲ νίκασεν Μελέ-
αγρος.

4.

Zenob. VI 44: *Χειροβρῶτι δεσμῷ· τοῖς πυκτικοῖς ἱμᾶσι, διὰ τὸ τὰς σάρκας διακόπτειν καὶ ἀναλίσκειν. Βέλτιον δὲ τὸν δεσμὸν ἀκούειν τὸν ἀποβιβρώσκοντα τὼ χεῖρε. ἐδεήθη γὰρ ἔν τινι πετραίῳ* (Hermann coniecit *ἐδέθησαν γὰρ ἔν τινι σπείρᾳ*)· *Στησίχορος εὐναρχειν τῶν ἐπὶ Πελίαν ἄθλων*, ubi Schneidewin emendavit: *ὡς Στησ. ἐν ἀρχῇ τῶν ἐπὶ Πελίᾳ ἄθλων*. Cf. etiam Suidas et Hesych. v. *χειροβρῶτι δεσμῷ*. Locus corruptus haud dubie si emendandus: *ἐδέθη γὰρ ἔν τινι πέτρᾳ* (sive *σπείρᾳ* cum Hermanno malis) *ἡ Τυρώ. Στησίχορος ἐν α' τῶν ἐπὶ Πελίᾳ ἄθλων*, ut hoc carmen quemadmodum Orestia et Helena in plures libros divisum fuerit. Hermanni coniecturam firmes epigr. Anthol. III 9: *Μητέρα τρηχείοισιν ἐπὶ σπείρημα σιδηρῷ Σαλμωνεῖ γενέτᾳ τῷδ' ὑποτασσομένῳ.* ubi fort. legendum *μητέρα τρηχείῃσιν ἐνὶ σπείρῃσι Σιδηροῖ Σαλμωνεῖ γενέτᾳ θ' ὧδ' ὑποτασσομένην.*

II. ΓΗΡΥΟΝΗΙΣ. 742

5. [5.]

. . . ⏑ ⏑ –́ ⏑ ⏑ – – –́ ⏑ ⏑ – –
–́ – – ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ – –
–́ – – ⏑ ⏑ – . . . .

νοις, εἰρηκότος φέρεσθαι (sic B recte, nam haec Athenaei sunt verba, vulgo *φέρεσθε*) *τῇ παρθένῳ δῶρα· Σασαμίδας κτλ.* Ita recte Casaubonus, nisi quod *σησαμίδας* scripsit, A *δορὰς ἀσαμίδας*, BPV *δώρας* (*δωρὰς*) *ἀσαμίδας*, L *δῶρ' ἀσαμίδας*. Kleine poetae verba esse ratus *Φέρεσθε τὰ παρθενόδωρα* coniecit. Ceterum Athen. rursus ex Stesichoro affert XIV 645 E hos duos versus omisso tamen *σασαμίδας*. Fortasse hi quoque versus copulandi, ut octameter fiat, quemadmodum fr. 1 v. 1.

Fr. 3. Athen. IV 172 E: *Ὅτι δὲ τὸ ποίημα τοῦτο Στησιχόρου ἐστίν, ἱκανώτατος μάρτυς Σιμωνίδης ὁ ποιητής, ὃς περὶ τοῦ Μελεάγρου τὸν λόγον ποιούμενός φησιν· Ὃς δουρὶ πάντας νίκασε νέους δινάεντα βαλὼν Ἄναυρον ὕπερ πολυβότρυος ἐξ Ἰωλκοῦ· οὕτω γὰρ Ὅμηρος ἠδὲ Στασίχορος ἄεισε λαοῖς. Ὁ γὰρ Στησίχορος οὕτως εἴρηκεν ἐν τῷ προκειμένῳ ᾄσματι τοῖς Ἄθλοις· Θρώσκων κτλ.* — *μὲν ἄρ'* Kleine, vulgo *μὲν γάρ*, nec tamen satis probabilis illa coniectura, fortasse scribendum *θρώσκων μὲν γέρας Ἀμφιάραος*, ut hic quoque Stesichorus octametro dactylico usus sit. — *νίκασεν Μελ.* L, *νικᾶς ἐμμελ.* BPV. Hartung .... *Θρώσκων μὲν Ἀμφιάραος* (*Πάντας ἐκαίνυτ'*), *ἄκ. κτλ.*

Γηρυονηΐς. De hoc Stesichori carmine disputavit Leutsch in

. . . *Σχεδὸν ἀντιπέρας κλεινᾶς Ἐρυθείας*
Ταρτησσοῦ ποταμοῦ παρὰ παγὰς ἀπείρονας, ἀργυρο-
ρίζους,
ἐν κευθμῶνι πέτρας.

6. [6.]

Schol. Hesiod. Theog. 287: *Ἔστι δὲ ὁ Γηρυονεὺς ἐκ Καλλιρρόης τῆς Ὠκεανοῦ καὶ Χρυσάορος. Στησίχορος δὲ ἓξ χεῖρας ἔχειν φησὶ καὶ ἓξ πόδας καὶ ὑπόπτερον εἶναι.* Cf. Eudoc. 214.

Encyclop. Erschii LXII 209 seq. — Quod Aristoteles Probl. XIX 48 adnotavit: *ἦθος δὲ ἔχει ἡ μὲν ὑποφρυγιστὶ πρακτικόν, διὸ καὶ ἔν τε τῷ Γηρυόνῃ ἡ ἔξοδος καὶ ἡ ἐξόπλισις ἐν ταύτῃ πεποίηται, ἡ δὲ ὑποδωριστὶ μεγαλοπρεπὲς καὶ στάσιμον.* non credo ad Stesichorum referendum esse, neque *ἐν τῇ Γηρυονηΐδι* scribendum, sed *ἐν τῷ Γηρυόνῃ ἥ τε ἔξοδος καὶ ἡ ἐξόπλισις.* Welcker ad Nicomachum tragicum revocavit, mihi dithyrambographi alicuius carmen dici videtur. — *Geryoneidis* fortasse memoria latet apud Philodemum *περὶ εὐσεβείας* p. 39 ed. Gompertz (Vol. Hercul. coll. nov. II 88) *κατ' Ἀπολλων(ί)δη* (?) *καὶ κατὰ (Ἡσίο)δον* (?) *καὶ κα(τὰ Στη)σίχορον ἐν* . . . . *\ I καὶ παρὰ* (?) . . . . . *ΦΗΝΤΟΙ* . . . *αὐτοῦ*, ubi Gompertz *ἐν Ὀρεστείᾳ* vel *ἐν Εὐρωπείᾳ* supplet, mihi *ἐν Γηρυονηΐδι* scribendum videtur: disserit enim de diis, qui mala et contumelias perpessi sint, velut statim addit Bacchum a Pentheo, Promethea a Iove in vincula coniectum esse: in Geryoneide autem Stesichorus haud dubie narraverat, Herculem primum Solem, deinde Oceanum sagittis petivisse: vid. Pherecydes ap. Ath. XI 470 C: *ὁ δὲ Ἡρακλῆς ἕλκεται ἐπ' αὐτὸν τὸ τόξον ὡς βαλέων, καὶ ὁ Ἥλιος* (hic inserendum videtur *δείσας*, quod proxime sequitur) *παύσασθαι κελεύει, ὁ δὲ δείσας παύεται. Ἥλιος δὲ ἀντὶ τούτου δίδωσιν αὐτῷ τὸ δέπας τὸ χρύσεον, ὃ αὐτὸν ἐφόρει σὺν ταῖς ἵπποις, ἐπὴν δύνῃ, διὰ τοῦ Ὠκεανοῦ (κατὰ) τὴν νύκτα πρὸς ἕω, ἵν' ἀνίσχει ὁ ἥλιος· ἔπειτα πορεύεται ὁ Ἡρακλῆς ἐν τῷ δέπαϊ τούτῳ ἐς τὴν Ἐρύθειαν· καὶ ὅτε δὴ* (legebatur *δὲ*) *ἦν ἐν τῷ πελάγει, Ὠκεανὸς πειρώμενος αὐτοῦ κυμαίνει τὸ δέπας φανταζόμενος· ὁ δὲ τοξεύειν αὐτὸν μέλλει, καὶ αὐτὸν δείσας Ὠκεανὸς παύσασθαι κελεύει.* Pherecydes quod hic et alias fere consentit cum Stesichoro, non inde repetendum, quod ex hoc poeta sua repetiit, ut O. Müller de Doriens. I 426 censet, sed uterque diligenter Hesiodi vestigia legunt. Panyasis quoque Solem ab Hercule vulneratum prodidit memoriae, vid. Clem. Alex. adv. gent. 23 A: *καὶ μὴν καὶ τὸν Ἀϊδονέα ὑπὸ Ἡρακλέους τοξευθῆναι Ὅμηρος λέγει, καὶ τὸν Ἠλεῖον Αὐγέαν Πανύασις ἱστορεῖ.* ubi scribendum videtur *καὶ τὸν Ἥλιον ὑπὸ τοῦ αὐτοῦ Πανύασις ἱστορεῖ.*

Fr. 5. Strabo III 148: *Ἐοίκασι δ' οἱ παλαιοὶ καλεῖν τον Βαῖτιν Ταρτησσόν, τὰ δὲ Γάδειρα καὶ τὰς πρὸς αὐτὴν νήσους Ἐρύθειαν· διόπερ οὕτως εἰπεῖν ὑπολαμβάνουσι Στησίχορον περὶ τοῦ Γηρυόνος βουκόλου* (ita Kramer, id est *Eurytionis*, codd. *βουκολίου*), *διότι γεννηθείη* (*γεννηθεὶς* l) *σχεδὸν ἀντιπέρας κτλ.* — V. 1 olim supplevi *δή τότε γεννήθη*, Schneidewin *τηλόθι γεννήθη*, sed fort. *matre* commemorata dixerat *Τέκετο σχεδὸν κτλ.* — *ἀντιπέρας* codd. ut videtur omnes, non *ἀντιπέραν*. — *Ἐρυθείας*, codd. *Ἐρυθίας*. — V. 2. *παγὰς*, Schneidewin *πᾶγας*. Kreussler suspicatur *ποταμοῦ παρὰ Ϝαγὰς ἀπείρονος ἀργυρορίζου* i. e. *ad ripas Tartessi* legendum esse. — V. 3. *κευθμῶνι* Hermann, codd. *κευθμώνων*. — *πέτρας*, BCl *πέτραις*, Schneidewin *ἐν κευθμῶνι πετραίῳ*. — Videntur hi versus ex epodo carminis petiti esse, nam fr. 7 et 8 strophae vel antistrophae reliquias servatas esse credo.

7. [7.]

–́ – ⏑⏑ – ⏑⏑ – ⏑⏑ – ⏑⏑ – ⏓
–́ ⏑⏑ – ⏑⏑ – ⏑⏑ – ⏑⏑ – ⏑⏑ – ⏑⏑ –

Σκύπφειον δὲ λαβὼν δέπας ἔμμετρον ὡς τριλάγυνον
πῖνεν ἐπισχόμενος, τό ῥά οἱ παρέθηκε Φόλος κεράσας.

8. [10.] 743

–́ ⏑⏑ – ⏑⏑ – ⏑⏑ – ⏑⏑ –́ ⏑⏑ – ⏓
–́ ⏑⏑ – ⏑⏑ – ⏑⏑ – ⏑⏑ – –
⏑⏑ –́ ⏑⏑ – ⏑⏑ –́ ⏑⏑ – ⏑⏑ –́ –
⏑⏑ –́ ⏑⏑ – ⏑⏑ –́ ⏑⏑ – – –́ ⏑⏑ –
⏑⏑ –́ ⏑⏑ –
– –́ ⏑⏑ – ⏑ – –́ ⏑⏑ – ⏑ ⏓

Ἀέλιος δ' Ὑπεριονίδας δέπας ἐσκατέβαινεν
χρύσεον, ὄφρα δι' Ὠκεανοῖο περάσας
ἀφίκοιθ' ἱερᾶς ποτὶ βένθεα νυκτὸς ἐρεμνᾶς
ποτὶ ματέρα κουριδίαν τ' ἄλοχον παῖδάς τε φίλους·
ὁ δ' ἐς ἄλσος ἔβα
δάφναισι κατάσκιον ποσσὶ πάϊς Διός.

9. [8.]

Paus. VIII 3, 2: *Παλλαντίου μὲν δὴ καὶ ὁ Στησίχορος ὁ Ἱμεραῖος ἐν Γηρυονηΐδι ἐποιήσατο μνήμην.*

Fr. 7. Athen. XI 499 A: *Στησίχορος δὲ τὰ παρὰ Φόλῳ τῷ Κενταύρῳ ποτήριον σκύπφειον* (sic Schweighaeuser, *σκυφίον* PVL) *δέπας καλεῖ ἐν ἴσῳ τῷ σκυφοειδές· λέγει δ' ἐπὶ τοῦ Ἡρακλέους· Σκύφειον κτλ.* — V. 1. *σκύπφειον* Casaubonus, *σκυφίον* PVL. Deinde B *τριαλάγωνον*. Ceterum cf. Athen. ib. 499 E: *Τὸ ἐν Γηρυονηΐδι Στησιχόρου ἔμμετρον ὡς τριλάγυνον* (PVL *τριαλάγυνον*) *τὴν τῶν τριῶν γενῶν ἀμφιβολίαν ἔχει.* Leutsch vocula *ὡς* deleta *ἔμμετρον τριλάγυνον* vel *ἐμμέτρως τριλάγυνον* commendat. — V. 2. *πῖνεν* scripsi, nam quod legebatur *πῖεν* (ita VL) omnino ferri nequit, cf. Apoll. Rhod. I 472: *ἦ καὶ ἐπισχόμενος πλεῖον δέπας ἀμφοτέρῃσιν Πῖνε χαλίκρητον λαρὸν μέθυ.* Possis *πί'* coniicere, siquidem ACP *πί'*, B *πῖ*, sed nimis hoc exile. — *Φόλος* Osann delendum censet, et deinde *κεράσσας* scribit, mihi videntur haec prorsus congruere cum fr. 8 exordio, ut scribendum sit:

Πῖνεν ἐπισχόμενος, τό ῥά οἱ παρέθηκεν
Φόλος ἐγκεράσας ⏑⏑ – ⏑⏑ – ⏑⏑ – –

Fr. 8. Athen. XI 469 E: *Ὅτι δὲ καὶ ὁ Ἥλιος ἐπὶ ποτηρίου διεκομίζετο ἐπὶ τὴν δύσιν Στησίχορος μὲν οὕτως φησίν· Ἅλιος κτλ.* Ex Geryonide esse haec ostendit idem XI 781 A: *Τὸν δὲ Ἥλιον ὁ Στησίχορος ποτηρίῳ διαπλεῖν φησι τὸν Ὠκεανόν· ᾧ καὶ τὸν Ἡρακλέα περαιωθῆναι ἐπὶ τὰς Γηρυόνου βόας ὁρμῶντα.* Cf. Eust. 1632, 23. — V. 1. *Ἀέλιος* Schweighaeuser, vulgo *Ἅλιος*. — V. 3. *ἀφίκοιθ'* Blomfield, vulgo *ἀφίκηθ'*. — V. 4. *τ'*, B *δ'*. Leutsch v. 4 et 5 dimetros anapaesticos fecit. — V. 6. *δάφναισι*, B *δάφναισοι*. — *πάϊς* Schneidewin, vulgo *παῖς*. In proecdosi v. 5 et 6 in unum coniunxi scripsique *ποσὶν Διὸς παῖς*.

10. [9.]

Sch. Apoll. Rh. I 212: *Στησίχορος δὲ ἐν τῇ Γηρυονίδι καὶ νῆσόν τινα ἐν τῷ Ἀτλαντικῷ πελάγει Σαρπηδονίαν φησίν.*

III. ΚΕΡΒΕΡΟΣ.

11. [11.]

Pollux X 152: *Ἀρύβαλλος δὲ ἐπὶ τοῦ συσπάστου βαλαντίου ἐν Ἀντιφάνους Αὑτοῦ ἐρῶντι καὶ ἐν τῷ Στησιχόρου Κερβέρῳ.* Cf. Bekk. An. I 444, 23 (ubi *αρίβ.*), Suid. v. *Ἀρίβαλλος.*

IV. ΚΥΚΝΟΣ. 74

12. [12.]

Sch. Pind. Ol. X 19: *Ἐτράπη δὲ καὶ ὑπεχώρησεν ἐν τῇ πρὸς τὸν Κύκνον μάχῃ ὁ μέγιστος Ἡρακλῆς, παρορμήσαντος Ἄρεος τὸν Κύκνον· ἐμαχέσατο δὲ Ἡρακλῆς, ὅτι κακόξενος ἦν Κύκνος υἱὸς τοῦ Ἄρεος, καὶ ἐν παρόδῳ τῆς Θετταλίας οἰκῶν ἀπεκαρατόμει τοὺς παριόντας, ναὸν τῷ Ἄρει βουλόμενος ἐκ τῶν κεφαλῶν οἰκοδομῆσαι, καὶ αὐτῷ παριόντι ἐπιβουλεῦσαι ἠθέλησε· συστάσης οὖν αὐτοῖς μάχης ἔφυγε δείσας Ἡρακλῆς, συμβαλλομένου Ἄρεος τῷ παιδὶ Κύκνῳ, ἀλλ' ὕστερον αὐτὸν μόνον γενόμενον ἐνίκησεν ὁ Ἡρακλῆς καὶ ἀπέκτεινε· Στησίχορος ἐν ἐπιγραφομένῳ Κύκνῳ ἱστορεῖ.*

V. ΣΚΥΛΛΑ.

13. [14.]

Sch. Apoll. Rh. IV 828: *Στησίχορος δὲ ἐν τῇ Σκύλλῃ Λαμίας τὴν Σκύλλαν φησὶ θυγατέρα εἶναι.* Cf. Cram. An. Par. III 479, 14. Eust. Od. 1714, 34. Eudoc. 377.

VI. ΣΥΟΘΗΡΑΙ.

14. [15.]

. . . . ⏑ ⏑́ ⏑́ – ⏑
⏓ – ⏑́ ⏑ ⏑ – ⏑

Κρύψαι δὲ ῥύγχος
ἄκρον γᾶς ὑπένερθεν.

VII. ΕΥΡΩΠΕΙΑ.

15. [16.]

Sch. Eurip. Phoen. 670: *Ἔνθεν ἐξανῆκε γᾶ·*] *ὁ μὲν Στησίχορος ἐν Εὐρωπείᾳ τὴν Ἀθηνᾶν ἐσπαρκέναι τοὺς ὀδόντας φησίν.*

Fr. 14. Athen. III 95 D: *Στησίχορός τέ φησιν ἐν Συοθήραις· Κρύψαι κτλ.* ubi B *ἄκραν*, Dindorf *κρύψε* coniecit. Denique Meineke *ἐν Συοθήρᾳ* edidit.

VIII. ΕΡΙΦΥΛΑ.

16. [18.]

Sext. Empir. adv. Math. I 261 (p. 658 ed. Bekk.): *Οἱ ἱστορικοὶ τὸν ἀρχηγὸν ἡμῶν τῆς ἐπιστήμης Ἀσκληπιὸν κεκεραυνῶσθαι λέγουσιν, οὐκ ἀρκούμενοι τῷ ψεύσματι, ἐν ᾧ καὶ ποικίλως αὐτὸ μεταπλάττουσι· Στησίχορος μὲν ἐν Ἐριφύλῃ εἰπών, ὅτι τινὰς τῶν ἐπὶ Θήβαις πεσόντων ἀνιστᾷ (ὁ Ἀσκληπιός).* Paulo accuratius Apollod. III 10, 3: *Εὗρον δέ τινας λεγομένους ἀναστῆναι ὑπ' αὐτοῦ Καπανέα καὶ Λυκοῦργον, ὡς Στησίχορός φησιν ἐν Ἐριφύλῃ* (sic recte Sevinus, v. *ὡς δὲ Στ. φησιν Ἐριφύλην*). Cf. schol. Pind. Pyth. III 96: 745
Στησίχορος δὲ (*κεραυνωθῆναι τὸν Ἀσκληπιὸν* addit Osann) *ἐπὶ Καπανεῖ καὶ Λυκούργῳ.* et schol. Eurip. Alcest. v. 2. Denique Philodemus *περὶ εὐσεβείας* p. 52 ed. Gompertz (Vol. Herc. coll. nova II 131): *Ἀσκληπιὸν δὲ Ζεὺς ἐκεραύνωσεν, ὡς μὲν . . . . (ὡς δ' ἐ)ν Ἐριφύλῃ Σ(τησίχορ)ος, ὅτι Κα(πανέα καὶ Λυ)κοῦρ(γον)* i. e. *ἀνέστησεν.*

* 17. [72.]

– ⏗ ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏗ ⏑ ⏓

Πάτρω' ἐμὸν ἀντίθεον Μελάμποδα.

IX. ΙΛΙΟΥ ΠΕΡΣΙΣ.

* 18. [24.]

– ⏗ ⏑ ⏑ – ⏑ ⏑ – – ⏗ ⏑ ⏑ – ⏑ ⏑ – – ⏗ ⏑ ⏑ – ⏓

Ὤικτειρε γὰρ αὐτὸν ὕδωρ αἰεὶ φορέοντα Διὸς κούρα βασιλεῦσιν.

19. [28.]

Pausan. X 27, 2: *Εἰς δὲ Ἑκάβην Στησίχορος ἐν Ἰλίου πέρσιδι ἐποίησεν, ἐς Λυκίαν ὑπὸ Ἀπόλλωνος αὐτὴν κομισθῆναι.*

Fr. 17. Eustath. 316, 16: *Πίνδαρος δὲ οὐκ ἀδελφούς, ἀλλὰ γονέας μητρὸς μάτρωας ἔφη. Στησίχορος δὲ πάτρωα τὸν κατὰ πατέρα πρόγονον εἶπεν, ἔνθα παρ' αὐτῷ Ἀμφίλοχος ἔφη τό· Πάτρωα κτλ. Μελάμπους γάρ, οὗ Ἀντιφάτης, οὗ Οἰκλῆς, οὗ Ἀμφιάραος, ὅθεν Ἀμφίλοχος.*

IX. *ΙΛΙΟΥ ΠΕΡΣΙΣ.* Qui tabulam Iliacam confecit, in Troiae excidio se Stesichorum secutum esse confitetur: *ΙΛΙΟΥ ΠΕΡΣΙΣ ΚΑΤΑ ΣΤΗΣΙΧΟΡΟΝ.* Cf. Welcker Opusc. T. I 180 seqq. et in Annalib. Instit. Archaeol. T. I 233 seqq. — Hoc carmen respicit Dio Chrysost. Or. II 33: *Στησιχόρου δὲ καὶ Πινδάρου ἐπεμνήσθη, τοῦ μὲν ὅτι μιμητὴς Ὁμήρου γενέσθαι δοκεῖ καὶ τὴν ἅλωσιν οὐκ ἀναξίως ἐποίησε τῆς Τροίας κτλ.*

Fr. 18. Athen. X 456 F: *Ἀνακομίζοντος δ' αὐτοῖς τὸ ὕδωρ ὄνου, ὃν ἐκάλουν Ἐπειόν, διὰ τὸ μυθολογεῖσθαι τοῦτο δρᾶν ἐκεῖνον καὶ ἀναγεγράφθαι ἐν τῷ τοῦ Ἀπόλλωνος ἱερῷ τὸν Τρωϊκὸν μῦθον, ἐν ᾧ ὁ Ἐπειὸς ὑδροφορεῖ τοῖς Ἀτρείδαις, ὡς καὶ Στησίχορός φησιν· Ὤικτειρε κτλ.* Cf. Eust. 1323, 57, ubi *δ' αὐτὸν Διὸς κούροις* legitur. — *αἰεί*, vulgo *ἀεί*.

20.

Sch. Eurip. Andr. 10: *Στησίχορος μέντοι ἱστορεῖ* (Cobet *Στησίχορον . . . ἱστορεῖν*), *ὅτι τεθνήκοι* (*ὁ Ἀστυάναξ*) *καὶ τὸν τὴν Πέρσιδα συντεταχότα ποιητήν, ὅτι καὶ ἀπὸ τοῦ τείχους ῥιφείη.*

21. [30.]

Paus. X 26, 1: *Κλυμένην μὲν οὖν Στησίχορος ἐν Ἰλίου πέρσιδι κατηρίθμηκεν ἐν ταῖς αἰχμαλώτοις.*

22. [31.]

Paus. X 26, 9: *Μέδουσα δὲ κατέχουσα ταῖς χερσὶν ἀμφοτέραις τὸν ὑποστάτην ἐπὶ τοῦ ἐδάφους κάθηται· ἐν δὲ ταῖς Πριάμου θυγατράσι ἀριθμῆσαι ἄν τις καὶ ταύτην κατὰ τοῦ Ἱμεραίου τὴν ᾠδήν.*

23. [33.]. 74

Harpocr. p. 104: *Καθελών, ἀντὶ τοῦ ἀνελὼν ἢ ἀποκτείνας· ἐχρήσαντο δὲ οὕτω τῷ ὀνόματι καὶ ἄλλοι, ὡς καὶ Στησίχορος ἐν Ἰλίου πέρσιδι.* Eadem Phot. 122, 1, Suid. v. *καθελών*, Zonar. 1165, sed carminis titulo om.

24. [26.]

Athen. XIII 610 C: *Ἐὰν μέν τίς σου πύθηται, τίνες ἦσαν οἱ εἰς τὸν δούριον ἵππον ἐγκατακλεισθέντες, ἑνὸς καὶ δευτέρου ἴσως ἐρεῖς ὄνομα, καὶ οὐδὲ ταῦτ' ἐκ τῶν Στησιχόρου, σχολῇ γάρ, ἀλλ' ἐκ τῆς Σακάδα τοῦ Ἀργείου Ἰλίου πέρσιδος, οὗτος γὰρ παμπόλλους τινὰς κατέλεξεν.* Cf. Eust. p. 1698: *Φασὶ δὲ τοὺς εἰς αὐτὸν καταβάντας τινὲς μέν, ὧν καὶ Στησίχορος, ἑκατὸν εἶναι.* Eudoc. 125. 461.

25. [27.]

Sch. Eurip. Or. 1274: *Ἆρα εἰς τὸ τῆς Ἑλένης κάλλος βλέψαντες οὐκ ἐχρήσαντο τοῖς ξίφεσιν· οἷόν τι καὶ Στησίχορος ὑπογράφει περὶ τῶν καταλεύειν αὐτὴν μελλόντων· φησὶ γὰρ ἅμα τῷ τὴν ὄψιν αὐτῆς ἰδεῖν αὐτούς, ἀφεῖναι τοὺς λίθους ἐπὶ τὴν γῆν.*

X. ΕΛΕΝΑ.

* 26. [44.]

– –́ ⏑ ⏑ – ⏑ ⏑ – ⏓
–́ ⏑ – – –́ ⏑ – –́ –
– –́ ⏑ ⏑ – ⏑ ⏑ – –

Οὐκ ἔστ' ἔτυμος λόγος οὗτος·

Fr. 26. Plato Phaedr. 243 A: *Ἔστι δὲ τοῖς ἁμαρτάνουσι περὶ μυθολογίαν καθαρμὸς ἀρχαῖος, ὃν Ὅμηρος μὲν οὐκ ᾔσθετο, Στησίχορος δέ. τῶν γὰρ ὀμμάτων στερηθεὶς διὰ τὴν Ἑλένης κακηγορίαν, οὐκ ἠγνόησεν, ὥσπερ Ὅμηρος, ἀλλ' ἅτε μουσικὸς ὢν ἔγνω τὴν αἰτίαν καὶ ποιεῖ εὐθύς· Οὐκ κτλ. καὶ ποιήσας δὴ πᾶσαν τὴν καλουμένην παλινῳδίαν παραχρῆμα ἀνέβλεψεν.* — V. 1. *οὐκ ἔστ'*, DN *οὐκέτ'*. — *λόγος*

οὐδ' ἔβας ἐν ναυσὶν εὐσέλμοις,
οὐδ' ἵκεο πέργαμα Τροίας. 747

libri, vulgo ὁ λόγος. Hunc v. afferunt Athen. XI 505 B. Maxim. Tyr. XXVII init. Dionys. Hal. Ep. I ad Ammaeum c. 3. Philostr. vit. Apoll. VI 11 p. 246 ubi ἔστιν et ὁ λόγος legitur, denique Cic. ad Att. IX 12, ubi οὗτος om. — V. 2. 𝔄 οὐδὲ βὰς, T κυσὶν, N εὐσεάμοις, Σ ἐϋσέλμοις. — ναυσὶν Naeke, libri νηυσὶν. — V. 3. ἵκεο, Γ ἵκου ex corr. Dixerat autem Stesichorus deinde apertius, Troes Helenae tantum imaginem secum abduxisse, vid. Aristid. II 72: ἀλλ' οὕτως ὥσπερ εἴδωλον ῥητορικῆς ἀπειληφὼς ἐπὶ τούτῳ σπουδάζειν, αὐτῆς δ' οὐδ' ἅπτεσθαι, ὥσπερ οἱ Στησιχόρου Τρῶες, οἱ τὸ τῆς Ἑλένης εἴδωλον ἔχοντες ὡς αὐτήν, unde versum Stesichoreum finxit Tzetzes Lycophr. 113 (id quod etiam Geel recte vidit): Λέγουσιν γὰρ ὅτι διερχομένῳ Ἀλεξάνδρῳ δι' Αἰγύπτου ὁ Πρωτεὺς Ἑλένην ἀφελόμενος εἴδωλον Ἑλένης αὐτῷ δέδωκε καὶ οὕτως ἔπλευσεν ἐς Τροίαν, ὥς φησι Στησίχορος· Τρῶες (Par. C Vit. 1 Ciz. add. γὰρ) οἵ τότ' ἴσαν (sic Par. C Vit. 1 et Ciz., ἦσαν Par. D, ἔσαν vulgo) Ἑλένης εἴδωλον ἔχοντες. Eadem repetit in Homericis p. 7 ed. Morelli. Cf. Plato Rep. IX 586 C: Ὥσπερ τὸ τῆς Ἑλένης εἴδωλον ὑπὸ τῶν ἐν Τροίᾳ Στησίχορός φησι γενέσθαι περιμάχητον ἀγνοίᾳ τοῦ ἀληθοῦς. Dio Chrys. Or. XI 182: Καὶ τὸν μὲν Στησίχορον ἐν τῇ ὕστερον ᾠδῇ λέγειν, ὅτι τὸ παράπαν οὐδὲ πλεύσειεν ἡ Ἑλένη οὐδαμόσε, ἄλλοι δέ τινες, ὡς ἁρπασθείη μὲν Ἑλένη ὑπὸ Ἀλεξάνδρου, δεῦρο δὲ παρ' ἡμᾶς εἰς Αἴγυπτον ἀφίκετο. (Illud memoria dignum, quod hic quoque Hesiodi vestigia legit Stesichorus, nam Schol. Lycophr. 822: πρῶτος Ἡσίοδος περὶ τῆς Ἑλένης τὸ εἴδωλον παρήγαγε.) Multum discrepat nec tamen fide dignus Schol. Aristid. III 150: εἰς Στησίχορον αἰνίττεται· λέγει γὰρ ἐκεῖνος, ὅτι ἐλθὼν ὁ Ἀλέξανδρος ἐπὶ ταύτης τῆς νήσου τῆς Φάρου ἀφῃρέθη παρὰ τοῦ Πρωτέως τὴν Ἑλένην καὶ εἴδωλον αὐτῆς ἐδέξατο (sic BC, similia AC). Eadem refert Eudocia 35 et 329. Aristides autem nihil aliud dixerat I 212 nisi: ἀλλ' ὥσπερ τῶν ποιητῶν φασί τινες τὸν Ἀλέξανδρον τῆς Ἑλένης τὸ εἴδωλον λαβεῖν, αὐτὴν δὲ οὐ δυνηθῆναι. — Hi tres versus haud dubie sunt ipsum exordium carminis nobilissimi, quod vulgo Παλινῳδία vocabatur, quam quidem *Palinodiam* non diversum esse carmen ab eo, quod Ἑλένα inscribitur, iure Kleine alii censent. Respicit huc Isocrat. Encom. Hel. 64: ἐνεδείξατο δὲ (Ἑλένη) καὶ Στησιχόρῳ τῷ ποιητῇ τὴν ἑαυτῆς δύναμιν· ὅτε μὲν γὰρ ἀρχόμενος τῆς (hoc add. ΓΔ, vulgo om.) ᾠδῆς ἐβλασφήμησέ τι περὶ αὐτῆς, ἀνέστη τῶν ὀφθαλμῶν ἐστερημένος· ἐπειδὴ δὲ γνοὺς τὴν αἰτίαν τῆς συμφορᾶς τὴν καλουμένην παλινῳδίαν ἐποίησε, πάλιν αὐτὸν εἰς τὴν αὐτὴν φύσιν κατέστησε. Haec, quae Isocrates paucis significat, accurate illustrat Pausan. III 19, 11: ὃν δὲ οἶδα λέγοντας Κροτωνιάτας περὶ Ἑλένης λόγον, ὁμολογοῦντας δέ σφισι καὶ Ἱμεραίους, ἐπιμνησθήσομαι καὶ τοῦδε· ἔστιν ἐν τῷ Εὐξείνῳ νῆσος κατὰ τοῦ Ἴστρου τὰς ἐκβολὰς Ἀχιλλέως ἱερά. ὄνομα μὲν τῇ νήσῳ Λευκή, περίπλους δ' αὐτῇ σταδίων εἴκοσι, . . . ἐς ταύτην πρῶτος ἐσπλεῦσαι λέγεται Κροτωνιάτης Λεώνυμος· πολέμου γὰρ Κροτωνιάταις συνεστηκότος πρὸς τοὺς ἐν Ἰταλίᾳ Λοκρούς, τῶν Λοκρῶν κατὰ οἰκειότητα πρὸς Ὀπουντίους Αἴαντα τὸν Ὀϊλέως ἐς τὰς μάχας ἐπικαλουμένων, ὁ Λεώνυμος Κροτωνιάταις στρατηγῶν ἐπῄει τοῖς ἐναντίοις κατὰ τοῦτο, ᾗ προτετάχθαι σφίσι τὸν Αἴαντα ἤκουε. τιτρώσκεται δὴ τὸ στέρνον καὶ (ἔκαμνε γὰρ ὑπὸ τοῦ τραύματος) ἀφίκετο ἐς Δελφούς· ἐλθόντα δὲ ἡ Πυθία Λεώνυμον ἀπέστελλεν ἐς νῆσον τὴν Λευκήν, ἐνταῦθα εἰποῦσα αὐτῷ φανήσεσθαι τὸν Αἴαντα καὶ ἀκέσεσθαι τὸ τραῦμα· χρόνῳ δέ, ὡς ὑγιάνας ἐπανῆλθεν ἐκ τῆς Λευκῆς, ἰδεῖν μὲν ἔφασκεν Ἀχιλλέα, ἰδεῖν δὲ τὸν Ὀϊλέως καὶ τὸν Τελαμῶνος Αἴαντα, συνεῖναι δὲ καὶ Πάτροκλόν σφισι καὶ Ἀντίλοχον· Ἑλένην δὲ Ἀχιλλεῖ μὲν συνοικεῖν, προστάξαι δέ οἱ πλεύσαντι ἐς Ἱμέραν πρὸς Στησίχορον ἀγγέλλειν, ὡς ἡ διαφθορὰ

27. [46.] 748

–́ ⏑ – ⏑ –́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – ⏒
–́ ⏑ ⏑ – ⏑ ⏑ – ⏑
–́ ⏑ ⏑ – ⏑ ⏑ – ⏑ –́ ⏑ ⏑ – ⏑ ⏑ – –

Πολλὰ μὲν Κυδώνια μᾶλα ποτέρριπτον ποτὶ δίφρον ἄνακτι,
πολλὰ δὲ μύρσινα φύλλα
καὶ ῥοδίνους στεφάνους ἴων τε κορωνίδας οὔλας.

28. [47.]

Athen. X 451 D: *Καὶ Στησίχορος δὲ ἐν Ἑλένῃ λιθαργύρεον* (sic L, *λιθαργύριόν* PV, *λυθαργύρεον* B) *ποδονιπτῆρα ἔφη.*

Fr. 22. Schol. Pind. Nem. I 1: *Ἡ Ὀρτυγία πρότερον μὲν οὖσα νῆσος εἶτα προσχωσθεῖσα χερρόνησος γέγονεν, ὡς καὶ Ἴβυκος ἱστορεῖ· Παρὰ χέρσον λίθινον τὸν παλάμαις βρ. πρόσθε νιν παῖδα νήριτον* (Ursinus *πέδον νήριτον*, Casaubonus *πέδα Νηρῄδων*, egregie Boeckh *πεδ' ἀναριτᾶν* vel *πεδὰ νηριτᾶν*) *ἰχθύες ὠμ. ν.* Resp. Strabo I 59: *Ἐπὶ τῆς πρὸς Συρακούσας νήσου νῦν μὲν γέφυρά ἐστιν ἡ συνάπτουσα αὐτὴν πρὸς τὴν ἤπειρον, πρότερον δὲ χῶμα, ὥς φησιν Ἴβυκος, λογαίου λίθου, ὃν καλεῖ ἔκλεκτον.* Cf. Athen. III 86 B: *Τοῦ δ' ἀναρίτου* (*μέμνηται*) *Ἴβυκος.* — V. 1. *παρὰ*, Boeckh *πὰρ.* — V. 2. *ἔκλεκτον* pro *τὸν* Boeckh ex Strabone restituit. — *παλάμαισι* scripsi, v. *παλάμαις.* — V. 3. *πρόσθε δέ* scripsi, vulgo *πρόσθε*, Casaubonus et Boeckh *πρόσθεν.* — *πεδ' ἀναριτᾶν*, fort. *πεδ' ἀναρτᾶν*, siquidem Athen. addit: *καλεῖται δ' ὁ ἀναρίτης καὶ ἀνάρτας* (B *ἀνάρτης*).

Fr. 24. Plut. Quaest. Symp. IX 15, 2: *Διὸ καὶ πέπονθεν, ὃ φοβηθεὶς Ἴβυκος ἐποίησε· Δέδοικα κτλ.* Plato Phaedro 242 C: *ἐμὲ γὰρ ἔθραξε μέν τι καὶ πάλαι λέγοντα τὸν λόγον, καί πως ἐδυσωπούμην κατ' Ἴβυκον, μή τι κτλ.* Inde a *μή τι* affert Suid. v. *ἀμπλακὼν* et *Ἰβύκειον ῥησείδιον* et v. *μή τι.* Resp. Synes. Epist. 115: *οὐ γὰρ νεώτερόν ἐστι τὸ δέος, ἀλλὰ καὶ λίαν ἀρχαῖον, τὸ μή τι περὶ θεὸν ἀ. τ. π. ἀ. ἐφεύρω*, ubi cod. Gud. ap. Schneidewin *δέδοικα μή τι* et in marg. *Ἰβύκου τινὸς παλαιοῦ. ἔστιν πρὸς ἱερωσύνην συνᾷδον τὸ Ἰβύκειον τουτὶ*

Δέδοικα, μή τι παρ θεοὶς 768
ἀμβλακὼν τιμὰν πρὸς ἀνθρώπων ἀμείψω.

25. [38.]

Aelian. Hist. Anim. VI 51 de dipsade: *Δεῖ δὲ καὶ μῦθον τῷδε τῷ ζώῳ ἐπᾶσαί με, ὀνπεροῦν ἀκούσας οἶδα, οὐ σιωπήσομαι τοῦτον, ὡς ἂν μὴ δοκοίην ἀμαθῶς ἔχειν αὐτοῦ. Τὸν Προμηθέα κλέψαι τὸ πῦρ Ἡφαίστῳ φησὶ καὶ τὸν Δία ἀγανακτῆσαι ὁ μῦθος λέγει, καὶ τοῖς καταμηνύσασι τὴν κλοπὴν δοῦναι φάρμακον γήρως ἀμυντήριον· τοῦτο οὖν ἐπὶ τῷ ὄνῳ θεῖναι τοὺς λαβόντας πέπυσμαι, καὶ τὸν μὲν προϊέναι τὸ ἄχθος φέροντα, εἶναι δὲ ὥραν θέρειον, καὶ διψῶντα τὸν ὄνον ἐπί τινα κρήνην κατὰ τὴν τοῦ ποτοῦ χρείαν ἐλθεῖν· τὸν οὖν ὄφιν τὸν φυλάττοντα ἀναστέλλειν αὐτὸν καὶ ἀπελαύνειν, καὶ ἐκεῖνον στρεβλούμενον μισθόν οἱ τῆς φιλοτησίας δοῦναι, ὁπεροῦν ἔτυχε φέρων φάρμακον. οὐκοῦν ἀντίδοσις γίνεται, καὶ ὁ μὲν πίνει, ὁ δὲ τὸ γῆρας ἀποδύεται, προσεπιλαβών, ως ὁ μῦθος, τὸ τοῦ ὄνου δίψος. Τί οὖν, ἐγὼ τοῦ μύθου ποιητής, ἀλλ' οὐκ ἂν εἴποιμι, εἰ καὶ πρὸ ἐμοῦ Σοφοκλῆς ὁ τῆς τραγῳδίας ποιητὴς καὶ Δεινόλοχος ὁ ἀνταγωνιστὴς Ἐπιχάρμου καὶ Ἴβυκος ὁ Ῥηγῖνος καὶ Ἀριστέας καὶ Ἀπολλοφάνης ποιηταὶ κωμῳδίας ᾄδουσιν αὐτόν.*

26. [39.]

⏑ ⏑ ⏑́ ⏑ ⏑ – ⏑ ⏑ – ⏑ –
–́ ⏑ ⏑ – ⏑ ⏑ – ⏑ – –

Ἔριδος ποτὶ μάργον ἔχων στόμα
ἀντία δῆριν ἐμοὶ κορύσσοι.

27.

– –́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – –

Οὐκ ἔστιν ἀποφθιμένοις ζωᾶς ἔτι φάρμακον εὑρεῖν.

ῥησείδιον, et Marin. vit. Procli c. 1. — V. 1. *παρ* Schneidewin et Dübner in Plut. (fort. ex codd.), vulgo *παρά*. — *θεοὶς* scripsi, vulgo *θεοῖς*, Hartung *θεοῖσιν*. — V. 2. *ἀμβλακὼν* 𝔄ΔΠGT apud Plat., ceteri omnes *ἀμπλακών*. — *τιμὰν*, 𝔄 ap. Plat. *τιμᾶν*. — *ἀμείψω*, Suid. tertio loco *ἀμείφῃ*.

Fr. 26. Porphyr. in Ptolem. Harmon. in Vallis. Opp. T. III p. 255: *Ταχέως γὰρ ἄν τις τῶν ἀπείρων μὲν μουσικῆς καὶ τῶν τοιούτων θεωρημάτων, ἃ νῦν ψηλαφῶμεν ἡμεῖς, ἐν δὲ τοῖς σοφιστικοῖς λόγοις καλινδουμένων Ἔριδος ποτὲ* (Stephanus *ποτὶ*) *μ. ἔ. στ., φησίν που Ἴβυκος, ἀντία δῆριν ἐνίοις* (ita Stephanus) *κορύσσοι*. — V. 1. *Ἔριδος*, Nauck citra necessitatem *ἔριδας*, Hartung *ἔοι δ' ὅς ποτε μαργὸν* edidit. — V. 2. Codd. ME *νενοοινορύσσοι*, D *ἐνιοικορύσσοι*, Gud. *δηρϊ νενόοι νορύσσοι*. *ἐμοὶ* emendavit Nauck, *ὄνῳ κορύσσοι* Schneidewin, *ἂν ὗς κορύσσοι* Lobeck.

Fr. 27. Chrysippus *περὶ ἀποφατ.* c. 14: *Εἰ ἀντίκειται ἀξίωμα καταφατικὸν τῷ Οὐκ ἔστιν κτλ. Ἴβυκος ὁ ποιητὴς οὕτως ἀπεφαίνετο· οὐκ ἔστιν κτλ.* et quater repetit, ubi primo loco cod. *ἔτι φθιμένοις*, sed supra *ἀπο* scriptum.

28. [41.] 769

. . ⏑ – ⏑́ ⏑ – ⏑ ⏑ – ⏑ –

. . *Ποτᾶται δ' ἐν ἀλλοτρίῳ χάει.*

29.

Κλάδον Ἐνυαλίου.

30. [5.]

Schol. Apoll. Rh. III 158: *Διὰ τούτων στίχων παραγράφει τὰ εἰρημένα ὑπὸ Ἰβύκου, ἐν οἷς περὶ τῆς Γανυμήδους ἁρπαγῆς εἶπεν ἐν τῇ εἰς Γοργίαν ᾠδῇ· καὶ ἐπιφέρει περὶ τῆς Ἠοῦς, ὡς ἥρπασε Τιθωνόν.* Ad hoc carmen haud dubie pertinet fr. 59, et fortasse etiam fr. 8 et fr. 33.

31. [10.]

Schol. Apoll. Rh. III 26: *Ἴβυκος δὲ καὶ Ἡσίοδος ἐκ Χάους λέγει γενέσθαι τὸν Ἔρωτα.* cod. Laur. *Ἴβυκος ὁ δὲ Ἡσίοδος*, unde Keil edidit *Ἴβυκος . . . ὁ δὲ Ἡσίοδος*, intercidisse putans ea, quae Ibycus prodidit: sed illam lectionem tuetur etiam Eudocia 158.

32. [11.]

Athen. XIII 603 D; *Ῥαδαμάνθυος δὲ τοῦ δικαίου Ἴβυκος ἐραστήν φησι γενέσθαι Τάλων.*

33. [12.]

Athen. II 39 B: *Ἴβυκος δέ φησι τὴν ἀμβροσίαν τοῦ μέλιτος κατ' ἐπίτασιν ἐνναπλασίαν ἔχειν γλυκύτητα, τὸ μέλι λέγων ἔνατον εἶναι μέρος τῆς ἀμβροσίας κατὰ τὴν ἡδονήν.* Cf. Eust. 1633, 11. Pro *ἔνατον* Meineke coni. *δέκατον*, collato Schol. Pind. Pyth. IX 113: *ἔστι δὲ καὶ τοῦ μέλιτος εὑρετὴς ὁ Ἀρισταῖος, ὃ δὴ τῆς ἀθανασίας δέκατον μέρος ᾠήθησαν εἶναι.*

34. [14.]

Schol. Hom. Il. γ 114: *Πορφύριος ἐν τοῖς παραλελειμμένοις φησίν, ὅτι τὸν Ἕκτορα Ἀπόλλωνος υἱὸν παραδίδωσιν Ἴβυκος, Ἀλέξανδρος, Εὐφορίων, Λυκόφρων.* Eandem famam etiam Stesichorus

Fr. 28. Schol. Aristoph. Av. 192: *Χάους ἀντὶ τοῦ ἀέρος νῦν, ὡς Ἴβυκος, ποτᾶται δὲ ἐν κτλ.* Eadem Suidas v. *Χάος*, ubi A *πωτᾶται*. Sed *ἀλλοτρίῳ* videtur temere ex Aristophanis loco ortum, poeta scripserat opinor:

Πωτᾶται δ' ἐν ἀπείρῳ χάει.

Ruhnken non diversum censet locum a Bacchylidis versu ap. Schol. Hesiod. Theog. 116 (fr. 47), qui sane simillimus est.

Fr. 29. Schol. Pind. Isthm. VIII v. 43 quod edidit T. Mommsen (Diar. Antiq. 1848 p. 131): *Νεικέων πέταλα] ἀντὶ τοῦ φιλονεικιῶν τὰ φύλλα, τροπικώτερον δὲ τῶν φιλονεικιῶν τὰς στάσεις ἢ τὰ νείκη· ὡς Ἴβυκος· κλάδον Ἐνυαλίου. καὶ Ὅμηρος ὄζον Ἄρηος.* Fortasse Ascalaphum dixit.

sequitur fr. 69, neque tamen propterea hoc abiudicandum Ibyco, ut voluit Hartung.

35. [16.]

Schol. Arist. Vesp. 714: *Καὶ τὸ ξίφος οὐ δύναμαι κατέχειν·*] *ὥσπερ ὁ Μενέλαος· τοῦτον γάρ φασιν ὁρμήσαντα ἐπὶ τὴν Ἑλένην ἀποβαλεῖν τὸ ξίφος· ἡ δὲ ἱστορία παρὰ Ἰβύκῳ καὶ Εὐριπίδῃ.* Similia 770
Sch. Lysistr. 155. Non recte Hartung haec Ibyco abiudicat et ad Stesichori *Ἰλίου πέρσιν* refert, nam Stesichorus prorsus aliam famam secutus est, vid. fr. 25.

36.

Sch. Eurip. Hec. 41: *Ὑπὸ Νεοπτολέμου φασὶν αὐτὴν (Πολυξένην) σφαγιασθῆναι Εὐριπίδης καὶ Ἴβυκος.* Haec quoque citra necessitatem Stesichoro vindicat Hartung.

37. [18.]

Sch. Apoll. Rh. IV 815: *Ὅτι δὲ Ἀχιλλεὺς εἰς τὸ Ἠλύσιον πεδίον παραγενόμενος ἔγημε Μήδειαν, πρῶτος Ἴβυκος εἴρηκε, μεθ' ὃν Σιμωνίδης.* Cf. Eudoc. 85.

38. [20.]

Sch. Pind. Nem. X 12: *Διομήδεα δ' ἄμβροτον ξανθά ποτε Γλαυκῶπις ἔθηκε θεόν·*] *Καὶ οὗτος Ἀργεῖος, ὃς δι' ἀρετὴν ἀπηθανατίσθη· καὶ ἔστι περὶ τὸν Ἀδρίαν Διομήδεια νῆσος ἱερά, ἐν ᾗ τιμᾶται ὡς θεός· καὶ Ἴβυκος οὕτω·* (hic lacunam statuit Boeckh) *τὴν Ἑρμιόνην γήμας ὁ Διομήδης ἀπηθανατίσθη σὺν τοῖς Διοσκούροις· καὶ γὰρ συνδιαιτᾶται αὐτοῖς· καὶ Πολέμων ἱστορεῖ· ἐν μὲν γὰρ Ἀργυρίπποις ἅγιον ἐστὶν αὐτοῦ ἱερόν, καὶ ἐν Μεταποντίῳ δὲ διὰ πολλῆς αὐτὸν αἵρεσθαι τιμῆς ὡς θεὸν καὶ ἐν Θουρίοις εἰκόνας αὐτοῦ καθιδρύσθαι ὡς θεοῦ.*

39. [21.]

Sch. Apoll. Rh. I 287: *Εἶχε καὶ ἀδελφὴν Ἰάσων Ἱππολύτην, ὥς φησιν Ἴβυκος.*

40. [23.]

Zenob. Prov. II 45: *Ἀγὼν πρόφασιν οὐκ ἐπιδέχεται οὔτε φιλία· ὁ Μίλων* (fort. *Δήμων*) *ὁ παροιμιογράφος Ἰβύκειον τὴν παροιμίαν ταύτην φησὶν ὡς πρώτου χρησαμένου τοῦ Ἰβύκου.* Cf. ibi interpr.

41. [25.]

Schol. Apoll. Rh. I 146: *Ὁ δὲ Ἴβυκος Πλευρωνίαν (Λήδαν) φησίν, Ἑλλάνικος δὲ Καλυδωνίαν.*

42.

Cram. An. Ox. III 413, 16: *Ὁ δὲ αὐτὸς ἑωσφόρος καὶ ἕσπερος· καίτοι γε τὸ παλαιὸν ἄλλος ἐδόκει εἶναι ὁ ἑωσφόρος καὶ ἄλλος ὁ ἕσπερος· πρῶτος δὲ Ἴβυκος ὁ Ῥηγῖνος συνήγαγε τὰς προσηγορίας.*

43. [26.]

Sch. Apoll. Rh. IV 57: *Ἴβυκος δ' ἐν πρώτῳ Ἦλιδος αὐτὸν* (*Ἐνδυμίωνα*) *βασιλεῦσαι φησί.* Cf. Eudoc. 148.

44.

Sch. Il. *ν* 517: *ὡς ἀντεραστὴς Ἑλένης* (de *Deiphobo* et *Idomeneo* dicit)· *ὡς μαρτυρεῖ Ἴβυκος καὶ Σιμωνίδης· ἀλλ' οὔτε ἤρα μεσαιπόλιος, οὔτε τὸ παρὰ Ἰβύκῳ ἀληθές, ἀλλὰ διὰ τοὺς πεσόντας.* 771 Eust. 944, 43: *ἕτεροι δὲ ἀκολουθοῦντες τῇ Σιμωνίδου καὶ Ἰβύκου ἱστορίᾳ φασὶν ὡς ἀληθῶς ἀεὶ ἐνεκότει τῷ Ἰδομενεῖ Δηΐφοβος ὡς ἀντεραστῇ. ἤρα γάρ, φασί, καὶ αὐτὸς τῆς Ἑλένης.*

45. [28.]

Sch. Apoll. Rh. II 778: *Πολλοὶ λόγοι περὶ τοῦ τῆς Ἱππολύτης ζωστῆρος εἰσίν· τινὲς μὲν γὰρ Ἱππολύτης, ἄλλοι δὲ Δηϊλύκης, Ἴβυκος δὲ ἰδίως ἱστορῶν Οἰολύκης τῆς Βριάρεω θυγατρός φασιν.* Ibycus videtur dixisse: *Οἰολύκα, Βριάρηο κόρα,* vid. Et. M. 213, 23.

46. [30.]

Sch. Arist. Nub. 1050: *Ἴβυκός φησι τὸν Ἥφαιστον κατὰ δωρεὰν ἀναδοῦναι Ἡρακλεῖ λουτρὰ θερμῶν ὑδάτων, ἐξ ὧν τὰ θερμὰ τινές φασιν Ἡράκλεια λέγεσθαι.*

47. [35.]

Strabo VI 271: *Ἀλφειὸν δὲ Ζωΐλος ὁ ῥήτωρ ἐν τῷ Τενεδίων ἐγκωμίῳ φησὶν ἐκ Τενέδου ῥεῖν, ὁ τὸν Ὅμηρον ψέγων ὡς μυθογράφον. Ἴβυκος δὲ τὸν ἐν Σικυῶνι Ἀσωπὸν ἐκ Φρυγίας ῥεῖν φασί.*

48 A [36.]

Pausan. II 6, 5: *Σικυῶνα δὲ οὐ Μαραθῶνος τοῦ Ἐπωπέως, Μητίωνος δὲ εἶναι τοῦ Ἐρεχθέως φασίν· ὁμολογεῖ δέ σφισι καὶ Ἄσιος, ἐπεὶ Ἡσίοδός τε καὶ Ἴβυκος ὁ μὲν ἐποίησεν, ὡς Ἐρεχθέως εἴη Σικυών, Ἴβυκος δὲ εἶναι Πέλοπός φησιν αὐτόν.*

48 B.

Philodemus *περὶ εὐσεβείας* p. 18 ed. Gomperz (Vol. Hercul. coll. n. II 46): *Αἰσχύλος δ'* (*ἐν Φινεῖ*) *καὶ Εἴβυ*(*κος καὶ Τε*)*λέστης* (*ποιοῦσιν*) *τὰς Ἁρπ*(*υίας θνησκ*)*ούσας ὑπ*(*ὸ τῶν Βορέου παί*)*δων.* ita Gomperz supplevit.

49.

Choerobosc. I 279: *Αὕτη ἡ αἰτιατική, φημὶ δὲ ἡ ἴκτινον κατὰ μεταπλασμὸν γέγονε ἴκτινα, . . . ὥσπερ ἀλίτροχον ἀλίτροχα παρ' Ἰβύκῳ* (cod. Marc. *παρίβυκον παριβυκα*). Cf. Cram. An. Ox. I 271, 2.

50.

Et. Sorb. ap. Gaisf. Et. M. 387, 42: *Ὁ δὲ Ἡρωδιανὸς συντίθεται πρώτῳ ἐτυμολογιῶν οὕτως λέγων· Τὸ παρ' Ὁμήρῳ ἐτώσιον τινὲς οἴονται παρὰ τὸ ἐτῶν ἐτώσιον, ἀλλὰ μάχεται ὁ νοῦς· οἱ δὲ οὕτως·*

ἀήτων, ἀητώσιος, συστολῇ ἀ ε τ ώ σ ι ο ν *παρ' Ἰβύκῳ· τοῦτο ἀφαιρέσει ἐτήσιον* (ἐ τ ώ σ ι ο ν). *ἢ οὕτως· ἔτος, ἀετός, ἀέτων, ἀετώσιος, ὁ μὴ ἀληθὴς ἀλλὰ μάταιος.* Cf. etiam Et. M. 20, 13. Hesych. v. *ἀετώσιον.* Et. Gud. 215, 26. — Quae leguntur Cram. An. Ox. IV 329, 22: *Ὁ μὲν διὰ τοῦ ωσιος Ῥηγίνων ἐστίν, ἐπεὶ συνεχὴς παρ' αὐτοῖς ἀπὸ γενικῆς γίνεται· ἀνάκων,* ἀ ν α κ ώ σ ι ο ς (Lobeck *Ἀκακώσιος*), *χαρίτων,* χ α ρ ι τ ώ σ ι ο ς. (Cf. etiam ib. I 162, 15.) Schneidewin probabiliter ad Ibycum refert.

51. [9.] 772

Et. Gud. 89, 31: *Ἄ τ ε ρ π ν ο ς· οὕτως ὁ ἄγρυπνος, παρὰ Ῥηγίνοις, ὡς καὶ παρ' Ἰβύκῳ καὶ Στησιχόρῳ.* adde Et. M. 163, 8 ubi Gaisf. codd. Ibyci et Stesichori nomen addunt, Cram. An. Par. IV 61, 22. Ceterum conf. supra fr. 7.

52. [50.]

Hesych.: *Β ρ υ α λ ί κ τ α ι· πολεμικοὶ ὤρχηται μὲν αἰδοίπου, Ἴβυκος καὶ Στησίχορος.* Vid. ad Stesich. fr. 79.

53. [54.]

Et. M. 273, 24: *Δ ι έ φ ρ α σ α ι· παρὰ Ἰβύκῳ* (v. *Ἴβυκι,* M *σιμ.*) *ἐστὶν ἔφθαρσαι καὶ κατὰ πάθος ἔφαρσαι καὶ κατ' ὑπέρθεσιν ἔφρασαι καὶ διέφρασαι.*

54 [29.]

Et. M. 428, 28: *Ἤ λ σ α τ ο β ο ῦ ς Ἴβυκος παρὰ τὸ ἠλάσατο.* Hartung ad Stesichori Geryoneidem refert.

55.

Cram. An. Ox. I 65, 15: *Καὶ τῇ κλαγγῇ δοτικῇ εἶπεν ὁ Ἴβυκος* κ λ α γ γ ί ι. Leg. κ λ α γ γ ί.

56. [56.]

Herod. *π. μ. λέξ.* 38, 13: *Λ ε β υ α φ ι γ ε ν ή ς· ἡ διὰ τοῦ φι ἐπέκτασις οὐδέποτε θέλει κατ' ἀρχὴν συντίθεσθαι, μόνῳ δὲ παρηκολούθησεν ἐν ἐπιρρήματι τῷ φι τὸ τοιοῦτον, Ἰφιγένεια, Ἰφικλῆς, Ἰφιάνασσα, καὶ ὅσα ἄλλα τοιαῦτά ἐστι· πεπλάνηται οὖν Ἴβυκος εἰπὼν Λεβυαφιγενής.* Bloch *Λ ι β υ α φ ι γ ε ν ή ς.*

57. [6.]

Schol. Apoll. Rh. III 106: *Ἴβυκος δὲ ἐπὶ τῶν τὸν οὐρανὸν βασταζόντων κιόνων* (ῥ α δ ι ν ο ὺ ς *ἀντὶ τοῦ*) *εὐμεγέθεις λέγει.*

58. [48.]

Et. M. 703, 28: *Ῥῆγος· τὸ πορφυροῦν περιβόλαιον· ... ὅτι δὲ ῥαγεῖς ἔλεγον τοὺς βαφεῖς καὶ ῥέγος τὸ βάμμα, σαφὲς Ἀνακρέων ποιεῖ ... καὶ παρ' Ἰβύκῳ·* Π ο ι κ ί λ α ῥ έ γ μ α τ α.

59. [55.]

Schol. Apoll. Rh. IV 1348: *Στέρφεσιν αἰγείοις· τοῖς δέρμασιν,*

ἔνθεν καὶ στερφῶσαι· Ἴβυκος δὲ σ τ ε ρ φ ω τ ῆ ρ α σ τ ρ α τ ὸ ν εἴρηκε τὸν ἔχοντα δέρματα. Hartung στερφωθέντα requirit.

60. [40.] 77

Et. M. p. 763, 41: Τραπεζίτης, διὰ τοῦ ι σημαίνει τὸν ἐν τῇ συνηθείᾳ λεγόμενον τραπεζίτην, ἀπὸ τοῦ τράπεζα· διὰ δὲ τῆς ει διφθόγγου τὸν ἐν τῇ τραπέζῃ παριστάμενον, ὡς παρ' Ὁμήρῳ· τραπεζῆες κύνες· ἀπὸ τοῦ τραπεζεύς ἐστι· τὸ δὲ παρ' Ἰβύκῳ διὰ τοῦ η λεγόμενον Τ ρ α π ε ζ η τ ᾶ ν κ υ ν ᾶ ν (scr. κ υ ν ῶ ν) ἔστιν ὡς πλείων πλήων. Cf. Cram. An. Ox. II 45, 22. Eust. Il. p. 1257, 25. Et. Gud. 533, 43 et p. 534, 14. Suidas v. τράπεζα. Bekk. An. III 1424. Poll. III 84.

61. [49.]

Plut. Comp. Lyc. et Num. 3: Ἔτι δὲ μᾶλλον ὑπὲρ τὰς παρθένους φυλακὴ κατέσταλται τῷ Νομᾷ πρὸς τὸ θῆλυ καὶ κόσμιον· ἡ δὲ τοῦ Λυκούργου παντάπασιν ἀναπεπταμένη καὶ ἄθηλυς οὖσα τοῖς ποιηταῖς λόγον παρέσχηκε· φ α ι ν ο μ η ρ ί δ α ς τε γὰρ αὐτὰς ἀποκαλοῦσιν, ὡς Ἴβυκος, καὶ ἀνδρομανεῖς λοιδοροῦσιν. Cf. Poll. II 187: καὶ ἡ Λάκαινα φ α ν ό μ η ρ ι ς, et VII 55: αἱ Σπαρτιάτιδες, ἃς διὰ τοῦτο φ α ν ο μ ή ρ ι δ α ς ὠνόμαζον, quod praestare videtur. et sic Schol. Clem. Alex. T. IV 128 ed. Klotz.

62. [53.]

Schol. Pind. Ol. IX 128: Χάρμαι, νῦν ἀντὶ τοῦ χαρά· Ὅμηρος δὲ ἐπὶ τῆς μάχης· οἱ δὲ περὶ Ἴβυκον καὶ Στησίχορον χ ά ρ μ η ν τὴν ἐπιδορατίδα φασίν.

Ibyci reliquiis eximendum est quod olim huc retuli ap. Cram. An. Ox. IV 243, 19: Παρ' Αἰγυπτίοις κυνοκέφαλοι καὶ ὀνοκέφαλοι, καὶ ὁ παρὰ Ἴβυ κριοκέφαλος, ubi recte Schneidewin ὁ παρὰ Λιβύσι κριοκέφαλος (Ἄμμων) correxit. — In Anthol. Plan. I 17 extat epigramma ἀδέσποτον, quod Natalis Comes Myth. V 6 *Ibyco* tribuit, sed nimis levis haec est auctoritas, quam ut fides habenda esse videatur.

XIX.

ANACREON.

ΕΙΣ ΑΡΤΕΜΙΝ.

1. [1.] *)

Γουνοῦμαί σ', ἐλαφηβόλε,
ξανθὴ παῖ Διός, ἀγρίων
δέσποιν' Ἄρτεμι θηρῶν·
ἥ κου νῦν ἐπὶ Ληθαίου

Anacreon. De Anacreontis carminibus vid. Schneidewin in Annalibus Antiquit. 1835 p. 508 seqq. et Welcker Opusc. I 251. — Fr. 1. Hephaestio 125: *Κοινὸν δέ ἐστι κατὰ σχέσιν τὸ δύο συστήμασιν ὑποπεπτωκός, καθάπερ τὸ πρῶτον Ἀνακρέοντος ᾆσμα· Γουνοῦμαι . . . θηρῶν. καὶ τὰ ἑξῆς· κατὰ μὲν γὰρ τὴν νῦν ἔκδοσιν ὀκτάκωλός ἐστιν ἡ στροφή, καὶ τὸ ᾆσμά ἐστι μονοστροφικόν. Δύναται δὲ καὶ ἑτέρως διαιρεῖσθαι εἴς τε τριάδα καὶ πεντάδα ἡ στροφή· ὥστε Φερεκράτειον εἶναι τὸ τελευταῖον τοῦ συστήματος, τοῦ ἐκ τῶν τριῶν κώλων ἢ τῶν πέντε.* Igitur in vulgaribus quidem editionibus (*τὴν νῦν ἔκδοσιν Aristarcheam* esse olim suspicatus sum) hi octo versus una perpetuitate decurrebant, legebatur enim v. 3 *θηρίων*, non ut nunc est ap. Heph. *θηρῶν*, quam lectionem qui probaverunt grammatici in duas strophas disposuerunt. Non tamen integrum est carmen, id quod sententia imperfecta arguit: igitur fortasse etiam in proximis, quae intercepta sunt, similes lectionis diversitates erant, ut idem versus aliis glyconeus, aliis pherecrateus esse videretur. Ceterum non recte schol. Hephaestionis v. 4 tamquam antistrophicum censet versui 1 exaequatum esse. Scholiasta ad illum locum integrum carmen servavit, et v. 3 et 8 repetit. V. 1—3 affert s. poet. nom. gramm. ap. Keil Anal. Gramm. 10, 26 (ubi cod. ut videtur v. 1 *γοῦν ἄνασσ'* et v. 3. *θηρίων*) et Apostol. V 59 a. V. 1 et 2 schol. Heph. 8 (ubi *ξανθά*). Adde praeterea Ioann. Sicel. ed. Walz. VI 128: *καὶ ἡ μὲν στάσις ἐπῳδοὺς ᾄδει τελείους, ἡ δὲ περικύκλησις περίοδον, ἥτις ἐστὶ τοῦ τελειοτέρου μέλους ἀπηρτισμένη σύνοδος, ὡς ὁ Ἀνακρέων· Γουνοῦμαι . . . θρασυκαρδίων. τοῦτο στροφή· εἶτα ἡ ἀντιστροφὴ πρὸς τὸ εἴδωλον· Οὐ γὰρ ἐς ἀνημ. π. πολιήτας. Ληθαῖος δὲ ὄνομα ποταμοῦ Μαγνησίας.* — V. 1 affert Attil. Fortunat. 356, 357, 358 ed. Gaisf. — V. 3 legitur apud Schol. Hom. Il. *φ* 470 et Eust. 1247, 9, qui omnes *θηρῶν*. — V. 4 locum ita conformavi, quemadmodum olim ex coniectura restitui, codicibus recens collatis partim addicentibus: *ἥ κου . . . ἐσκατορᾷς*, cum vulgo

*) Numeri adiecti sunt editionis meae.

δίνῃσι θρασυκαρδίων
ἀνδρῶν ἐσκατορᾷς πόλιν
χαίρουσ᾽· οὐ γὰρ ἀνημέρους
ποιμαίνεις πολιήτας.

ΕΙΣ ΔΙΟΝΥΣΟΝ.

2. [2.]

Ὦναξ, ᾧ δαμάλης Ἔρως
καὶ Νύμφαι κυανώπιδες
πορφυρέη τ᾽ Ἀφροδίτη
συμπαίζουσιν· ἐπιστρέφεαι δ᾽
ὑψηλῶν κορυφὰς ὀρέων,
γουνοῦμαί σε· σὺ δ᾽ εὐμενὴς
ἔλθ᾽ ἡμῖν, κεχαρισμένης δ᾽
εὐχωλῆς ἐπακούειν.
Κλευβούλῳ δ᾽ ἀγαθὸς γενεῦ
σύμβουλος· τὸν ἐμὸν δ᾽ ἔρωτ᾽,
ὦ Δεύνυσε, δέχεσθαι.

legeretur: *ἶκον . . . δίνῃσι· θρ. ἀ. ἐγκαθόρα πόλιν.* atque ita etiam v. 4 scriptus legitur ap. Heph. 8: *ἐν δὲ ἀντισπαστικῷ Ἀνακρέοντος· ἶκον νῦν ἐπὶ Ληθαίου.* sed ACPS *ἦκον*, FlBHN *οἶκον.* — V. 5. *θρασυκαρδίων* Ioh. Sicel. et Turneb., *θρεοκαρδίων* schol. Heph. (E, in quo bis legitur carmen, *θρεσκαρδίων* vel *θρασκαρδίων*), *θεοκαρδίων* Ursinus. — V. 6 quod legebatur *ἐγκαθόρα* correxi ex Apollonio de Syntaxi p. 55: *ἐπεὶ τὰ ψιλὰ μετατιθέασιν οἱ Ἴωνες καὶ τὰ δασέα εἰς ψιλά, ὡς ἐπὶ τοῦ τάφος τεθηπότες, ἐνταῦθα ἐνθαῦτα, καὶ ἐπὶ τῶν συναλοιφῶν· ἐσκατορᾷς πόλιν.* idque firmavit E, in quo *ἐσκατόρες* vel *ἐσκατόραις* legitur.

Fr. 2. *Integrum est carmen*, quod servavit Dio Chrys. Or. II T. I 35: *τούτοις γε μὴν ξυνέπεται, μηδὲ εὐχὰς εὔχεσθαι τὸν βασιλέα τοῖς ἄλλοις ὁμοίας, μηδὲ οὖν τοὺς θεοὺς καλεῖν οὕτως εὐχόμενον, ὥσπερ ὁ Ἰώνων ποιητὴς Ἀνακρέων· ὦναξ κτλ.* Non recte Hartung partem prioris carminis esse suspicatur. — V. 1. *ὦναξ*, C *τοῦ ἄξ.* — *ᾧ* M, *ω* reliqui. — *δαμάλης Ἔρως* ex hoc loco affert Steph. Byz. v. *Ἀσκάλων* a Meinekio correctus, respic. Hesych. *Δαμᾶλ.* (l. *Δαμάλης*) *τὸν Ἔρωτα, ἤτοι δαμάζοντα ἢ ἀγέρωχον.* Ceterum P a m. pr. *δάμαλις.* — V. 3. *τ᾽*, VB *τε.* Respicit Aelian. Hist. Anim. IV 2. — V. 4. *συμπαίζουσιν* BCMVPv, vulgo *συμπαίζουσ᾽.* — *ἐπιστρέφεαι* BMV, *ἐπιστρέφεται* rel. Hecker coniecit: *συμπαίζουσιν ἐπιστεφέων ὕλης ἐν κορυφῇς ὀρέων.* — *δ᾽*, *δὲ* BCMVP. — V. 5. *ὑψηλῶν*, *ὑψηλὰς* BCM, *ὑψηλᾶς* P (qui deinde etiam *κορυφᾶς*). — *κορυφὰς ὀρέων* Barnes, *ὀρέων κορυφὰς* libri, Kayser coni. *ὑψηλῶν ὀρέων ῥία.* — V. 7. *ἔλθ᾽ ἡμῖν*, *ἔλθοις μοι* PCM (sed hi in marg. vulg.). — *κεχαρισμένης*, conieci *κεχαρισμένως*, Hecker *κεχαρημένος.* — V. 8. *εὐχωλῆς*, C *εὐχόλης.* — *ἐπακούειν*, *ἐπακούων* PCM (sed hi supra vulg.). — V. 9. *Κλευβούλῳ*, M *κατευβουλῳ.* — *δ᾽*, *γ᾽* CMP. — *γενεῦ* CV, *γένευ* B, *γίνευ* P, *γενοῦ* rel. — V. 10. *δ᾽ ἔρωτ᾽*, BV *δὲ ἔρωτα*, PCM *δέ τ᾽ ἔρωτα.* — V. 11. *ὦ Δεύνυσε* correxeram probante G. Dindorfio, *ὦ Διόνυσε* Emperius, firmantque codd., nam V *ὦ δ᾽ ευνυσε*, P *ὦδ᾽ εὖ νῦ*

3. [3.]

Κλευβούλου μὲν ἔγωγ' ἐρῶ,
Κλευβούλῳ δ' ἐπιμαίνομαι, 776
Κλεύβουλον δὲ διοσκέω.

4. [4.]

Ὦ παῖ παρθένιον βλέπων,
δίζημαί σε, σὺ δ' οὐ κίεις,
οὐκ εἰδώς, ὅτι τῆς ἐμῆς
ψυχῆς ἡνιοχεύεις.

5. [6.]

Ἀλλ' ὦ τρὶς κεκορημένε
Σμερδίη.

6. [7.]

Μεὶς μὲν δὴ Ποσιδηϊὼν
ἕστηκεν, νεφέλης δ' ὕδωρ

σε, C ὠ δευνυ σε, BA ὤδ' εὖ νῦν σε, reliqui ὤδ' οὐ νῦν σε, ut vulgo, unde coniectura proposita fuit οἶδ' εὖ νῦν σε. Hecker sic conformavit γενεῦ· σύμβουλος τὸν ἐμὸν δέχεσθ' ὦ Δεύνυσος ἔρωτα.

Fr. 3. Herodian. περὶ σχημ. 57, 5: περὶ πολυπτώτου ... Παρὰ δὲ Ἀνακρέοντι ἐπὶ τριῶν· Κλευβούλου κτλ. — V. 1. ἐρῶ, Schneidewin ἐρέω. — V. 3. δὲ διοσκέω scripsi, A διὸς κνέων, CD δὲ διοσκνέω, B δὲ διϊδεῖν ἐπιποθῶ. Cf. Hesych.: Διόσκειν (διοσκεῖν)· διαβλέπειν συνεχῶς τὴν ὅρασιν μεταβάλλοντα. Hartung Κλευβούλῳ δὲ διοσκέω requirit.

Fr. 4. Athen. XIII 564 D: Ὁ δ' Ἀνακρέων τί φησίν; Ὦ παῖ κτλ. Ad Cleobulum videtur scriptum carmen, vid. Max. Tyr. VIII 96: μεστὰ αὐτοῦ τὰ ᾄσματα τῶν Κλεοβούλου ὀφθαλμῶν. — V. 1. βλέπων, C βλέπουσα. — V. 2. οὐ κίεις correxi, in proecdosi οὐ κοεῖς scripsi, codd. οὐκ ἀΐεις, Erfurdt οὐ κλύεις, O. Schneider οὐκ ἄεις. — V. 3. οὐκ εἰδώς, C οὐ γὰρ οἶδας. Hecker ita conformavit: Δίζημαί σε διοσκέων, οὐκ εἰδὼς ἔτι τῆς ἐ. ψ. ἡνιοχεύειν.

Fr. 5. Eust. Od. 1542, 47: Καὶ ἐν τῷ· Ἀλλ' ὦ τρισκεκ. Σ. παρὰ Ἀνακρέοντι ἤγουν πολλάκις ἐκσεσαρωμένε. Resp. idem Il. 725, 35.

Fr. 6. Schol. Hom. Il. ο 192: Πάντα τὸν ὑπὲρ γῆς ἀέρα τῷ Διΐ φησι δοθῆναι, διὰ μὲν τῶν νεφελῶν τὸν φωτιζόμενον ἀέρα, ὅπερ ἐστὶν ἀπὸ γῆς ἕως νεφελῶν, διὰ δὲ τοῦ αἰθέρος τὸν ὑπὲρ τὰ νέφη τόπον, ὃν καὶ οὐρανὸν ὀνομάζει· ἔστι δὲ οὗτος ἄχρι τῆς ζώνης τῆς σελήνης καὶ τῶν πλανητῶν· ἀμέλει καὶ πύλας οὐρανοῦ τὰ νέφη ὀνομάζει (i. e. Homerus, vid. Il. ε 749). Ἀνακρέων· μεὶς μὲν δὴ Ποσειδηϊὼν ἕστηκεν, νεφέλη δ' ὕδωρ βαρὺ δ' ἄγριοι χειμῶνες κατάγουσιν. Longe aliter Eust. Il. 1012, 1: Διὸ καὶ οἱ Ἀττικοὶ τὸν περὶ χειμερίους τροπὰς μῆνα Ποσειδεῶνα καλοῦσιν, ὡς Ἀνακρέων· Μεὶς μὲν δὴ Ποσειδηϊὼν ἕστηκε, νεφέλαι δ' ὕδατι βαρύνονται, ἄγριοι δὲ χειμῶνες παταγοῦσιν. unde prius edidi ὕδατι βαρύνονται, ἴδ' ἄγριοι χ. πατ., sed praeterea conieci νεφέλη δ' ὕδωρ καταρρεῖ, βαρὺ δ' ἄ., unde Schneidewin νεφέλαι δ' ὕδει (hoc Barnes) πλήθουσιν, βαρὺ δ' ἄ. χ. παταγεῦσιν. Sed Eustathii lectio ex grammatici correctione haud dubie orta, itaque scripsi νεφέ-

ὄμβριον, Δία τ' ἄγριοι
χειμῶνες κατάγουσιν.

7. [131.]

Σὺ γὰρ ἦς ἐμοιγ' 777
ἀστεμφής.

8. [8.]

Ἐγὼ δ' οὔτ' ἂν Ἀμαλθίης
βουλοίμην κέρας οὔτ' ἔτεα
πεντήκοντά τε καὶ ἑκατόν
Ταρτησσοῦ βασιλεῦσαι.

9. [9.]

. . Τί λίην πέτεαι
συρίγγων κοϊλώτερα
στήθεα χρισάμενος μύρῳ;

λης δ' ὕδωρ ὄμβριον, Δία τ' ἄ. χ. κατάγουσιν, et sic ultima scribenda esse confirmat non solum scholiastae adnotatio, sed in primis etiam Horatius Epod. 13, 1, qui aperte haec imitatus est: „Horrida tempestas coelum contraxit *et imbres Nivesque deducunt Iovem*: nunc mare, nunc siluae Threicio Aquilone sonant.“ Minus certa priorum verborum emendatio, Sauppe Ποσιδηϊών, ἕστηκεν δὲ νέφη πυλὼν Οὐρανοῖ. βαρὺ κτλ., Hartung partim meis emendationibus usus scripsit νεφέλαι δ' ὕδει βρίθονται, Δία δ' ἄγριοι χειμῶνες παταγοῦσιν, quod Graece dici non potest. — V. 1. Ποσιδηϊών Fischer alii, legebatur Ποσειδηϊών.

Fr. 7. Schol. Hom. Il. γ 219: ἡ διπλῆ πρὸς τὸ ἀστεμφές. ὅτι τὸ ἀμετακίνητον· ὁ γὰρ Ἀνακρέων· σὺ γὰρ κτλ. — ἦς, fort. εἷς.

Fr. 8. Strabo III 151: Ὑπολάβοι δ' ἄν τις ἐκ τῆς πολλῆς εὐδαιμονίας καὶ μακραίωνας ὀνομασθῆναι τοὺς ἐνθάδε ἀνθρώπους καὶ μάλιστα τοὺς ἡγεμόνας, καὶ διὰ τοῦτο Ἀνακρέοντα μὲν οὕτως εἰπεῖν· Ἐγώ τ' ἂν οὔτ' κτλ. Resp. Plin. N. H. VII 154: „*Anacreon poeta Arganthonio Tartessiorum regi CL* (cod. Dalec. CIV, Augustin. de Civ. Dei XV 12 CLII) *tribuit annos, Cinyrae Cypriorum X annis amplius, Aegimio CC.*“ De Cinyra et Aegimio nihil dixisse videtur Anacreon, et nisi ipse Plinius negligenter ut solet haec scripsit, librariorum subest error. Ipse Plinius deinde: „Sed ut ad confessa transeamus, Arganthonium Gaditanum octoginta annis regnasse prope certum est, putant quadragesimo coepisse“ (i. e. Herodot I 163). Cf. Lucian. Macrob. c. 10. Phlegon Trall. Macrob. c. 4. Adde schol. ad Dionys. Per. 332: Κατὰ δέ τινας Ἀβύλη, παρ' ᾗ καὶ Ταρτησσός, ἣν καὶ ὁ Ἀνακρέων φησὶ πανευδαίμονα· αὕτη γὰρ βασιλεύει. ubi videtur legendum ταύτης γὰρ Ἀργανθώνιον βασιλεύειν. — V. 1. ἐγὼ δ' οὔτ' ἂν Casaubonus, ἔγωγ' οὔτ' ἂν Mehlhorn, libri ἐγώ τ' ἂν οὔτ'. — V. 2. οὔτ' ἔτεα Tyrwhitt, libri οὔτε τά. — V. 3. τε καὶ, B τ' ἔτη καί.

Fr. 9. Athen. XV 687 E: Καὶ ὁ σοφὸς δ' Ἀνακρέων λέγει που· Τί μὴν πέτεαι κτλ. τὰ στήθη παρακελευόμενος μυροῦν, ἐν οἷς ἐστιν ἡ καρδία, ὡς καὶ ταύτης δηλονότι παρηγορουμένης τοῖς εὐώδεσι. — V. 1. τί λίην scripsi, τί μὴ Casaubonus, libri τί μήν. — V. 2. συρίγγων, Hecker σηράγγων. fortasse vere, cf. Hesych. σηράγγων· σπηλαίων, ἐπιθυμιῶν.

10. [10.]

Ὁ δ' ὑψηλὰ νενωμένος.

11. [14.]

Πολλὰ δ' ἐρίβρομον
Δεύνυσον.

12. 778

Οὔτε μὴν ἁπαλὴν κάσιν.

13. [11.]

Ἔρως παρθένιος πόθῳ
στίλβων καὶ γεγανωμένος.

14. [15.]

Σφαίρῃ δηὖτέ με πορφυρέῃ
βάλλων χρυσοκόμης Ἔρως
νήνι ποικιλοσαμβάλῳ
συμπαίζειν προκαλεῖται·

— κοϊλώτερα scripsi, vulgo κοιλότερα. Neque vero κόϊλος revocandum in Homericis carminibus, quamquam plurimis locis per versus numerum licet, nam contractam formam satis testificatur Od. χ 385: κοῖλον ἐς αἰγαλόν, et Stasinus in Cypriis Δεινοῖς ὀφθαλμοῖσιν ἔσω δρυὸς ἄμφω κοίλης, quamquam hic poeta ἔσω κοίλης δρυὸς ἄμφω scripsisse videtur.

Fr. 10. Et. M. 601, 20: Νένωται ... καὶ παρ' Ἀνακρέοντι ἡ μετοχή· ὁ δ' ὑψ. ν. cf. Favorin. 298.

Fr. 11. Et. M. 259, 28: Δεύνυσος· ὁ Διόνυσος. Ἀνακρέων· Πολλὰ δὲ ἐρ. Δ. τοῦ ῑ τραπέντος εἰς ē γίνεται Δεόνυσος, οὕτω γὰρ Σάμιοι προφέρουσιν, καὶ συναιρέσει Δεύνυσος, ὡς Θεόδοτος Θεύδοτος.

Fr. 12. Schol. Eurip. Hec. 365 (ed. Cobet): τὴν κάσιν Ἀνακρέων οὔτε μ. ἁ κ., σεσημείωται δὲ ὅτι τὴν θήλειαν κάσιν εἶπε, εἰ μὴ ἀποκοπὴ κασιγνήτης. ita V, similia R, nisi quod τότε μὴν, fort. οὐδὲ μήν.

Fr. 13. Plutarch. Erot. c. 4: Οὗτος ἔρως ὁ γνήσιος ὁ παιδικός ἐστιν, οὐ πόθῳ στίλβων, ὡς ἔφη τὸν παρθένιον Ἀνακρέων, οὐδὲ μύρων ἀνάπλεως καὶ γεγανωμένος, ἀλλὰ λιτὸν αὐτὸν ὄψει καὶ ἄθρυπτον ἐν σχολαῖς φιλοσόφων. Unde duos versiculos restitui.

Fr. 14. Athen. XIII 599 C: Χαμαιλέων δ' ἐν τῷ περὶ Σαπφοῦς καὶ λέγειν τινάς φησιν εἰς αὐτὴν πεποιῆσθαι ὑπὸ Ἀνακρέοντος τάδε· Σφαίρῃ κτλ. Ipsius haud dubie Anacreontis carmen est, sed male poetam ad Sapphonem respexisse putaverunt. Welcker (Mus. Rhen. XI 230 seqq.) censet priorem tantum stropham Anacreontis, versus novissimos subditicios esse. — V. 1. Σφαίρῃ δηὖτέ με Seidler, vulgo σφαίρῃ δεῦτε με (sic L, σφεραῖρει με V, σφεραίρει με P). — πορφυρέῃ βάλλων Pauw, codd. πορφύρ' ἐνιβάλλων. — V. 3. νηνι ποικιλοσαμβάλῳ Seidler, codd. νηνι (νυνὶ) ποικίλος λαμβάνω. Cf. Et. Sorb. (Et. M. 448, 29 not.) Μῆτι διὰ τοῦ ῑ, ὥσπερ ἀπὸ τοῦ νεανὶς κατὰ κρᾶσιν γίνεται νῆνις, καὶ

ἡ δ', ἐστὶν γὰρ ἀπ' εὐκτίτου
Λέσβου, τὴν μὲν ἐμὴν κόμην,
λευκὴ γάρ, καταμέμφεται,
πρὸς δ' ἄλλον τινὰ χάσκει.

15.

Οὐ δηὖτ' ἔμπεδός εἰμι,
οὐδ' ἀστοῖσι προσηνής.

16. [51.] 779

Μυθῖται δ' ἐνὶ νήσῳ
μεγίστη διέπουσιν
ἱερὸν ἄστυ (Νυμφέων).

17. [16.]

Ἠρίστησα μὲν ἰτρίου λεπτοῦ μικρὸν ἀποκλάς,

ἐκεῖθεν νήνιος, νήνιϊ καὶ κράσει τῶν δύο ιι εἰς ἓν μακρὸν νήνι, οἱ νήνι ποικιλους (ω) ἀμβάλω. — V. 5. εὐκτίτου Barnes, v. εὐκτικοῦ. — V. 8. ἄλλον Pauwius et Dalecamp, libri ἄλλην.

Fr. 15. Chrysipp. περὶ ἀποφατικῶν c. 22: Εἰ οὕτως ἀποφαίνοιτ' ἄν τις· δεῦτε ἔμπεδός εἰμι οὐδ' ἀστοῖσι προσηνής, Ἀνακρέων οὕτως ἀπεφήνατο· οὐ δεῦτε ἔμπεδος κτλ. Scripsi δηὖτ'. Sed vereor ne gravius vitium delitescat scripseritque poeta: οὐδ' εὐπέμπελός εἰμι, nam quod Chrysippi librarius δεῦτε ἔμπεδος exhibet, hoc non multum valet.

Fr. 16. Schol. Hom. Od. φ 71: Μύθου· νῦν τῆς στάσεως, ὅθεν καὶ Ἀνακρέων τοὺς ἐν τῇ Σάμῳ ἁλιεῖς ὄντας στασιαστάς φησιν· μυθηταὶ δ' ἀν νήσῳ μεγίστη διέπουσιν ἱερὸν ἄστυ. Eust. 1901, 44 affert μυθηταὶ δ' ἐν νήσῳ διέπουσιν ἱερὸν ἄστυ. — V. 1. μυθῖται scripsi, cf. Apoll. Lex. Hom. 114, 3: Μῦθος, λόγος, ὁ δὲ Ἀνακρέων μυθιήτας τοὺς στασιώτας εἶπεν. et Etym. M. 593, 48: ὅθεν καὶ Ἀνακρέων ἐν τῷ δευτέρῳ τῶν μελῶν μυθίας (MV μυθίτας) τοὺς στασιαστὰς ἐπὶ τῶν ἁλιέων λέγει. Cf. Apoll. in Bekk. An. II 524, 5. Adde Et. Gud. 84, 1 et Steph. Byz. v. Αἴγινα. Ac μῦθος similiter dictum, non solum Hesychius στάσις interpretatur (qui etiam μυθητῆρες· στασιασταὶ et μυθίτης· ὁ στασιώτης habet), sed restituendum etiam Batrachom. 135: σκεπτομένων δ' αὐτῶν πόθεν ἡ στάσις ἢ τίς ὁ μῦθος, ubi interpolati libri ὅμιλος vel ὁ θρύλλος exhibent. — ἐνὶ νήσῳ scripsi, Buttmann ἀνὰ νῆσον. — V. 2. μεγίστη, in proecdosi μέγιστοι correxi, sed fort. scrib. ἐνὶ νήσῳ, Μεγίστη, διέπουσιν, ut hic quoque allocutus sit Megistem, quemadmodum in alio carmine item libri secundi fr. 42; atque hic Μεγίστη legendum esse etiam Hecker et L. Dindorf suspicati sunt. Hartung scripsit:

μυθιῆται
ἀνὰ νῆσόν τε, Μεγίστη, διέπουσιν
ἱερόν τ' ἄστυ τὸ Νυμφέων.

V. 3. Νυμφέων addidi, vid. Hesych.: Ἄστυ Νυμφέων· τὴν Σάμον, Ἀνακρέων, ἐπεὶ ὕστερον εὔυδρος ἐγένετο, ut hic sit versus numerus –́ ⏑ ⏑ – ⏑ – –, vel ⏑ ⏑⏑ – ⏑ – –, quamquam possis Νυμφέων ἱερὸν ἄστυ legere.

Fr. 17. Hephaest. 59: Τὸ δὲ τὴν δευτέραν ἰαμβικὴν ἔχον καλεῖται

οἶνου δ' ἐξέπιον κάδον, νῦν δ' ἁβρῶς ἐρόεσσαν
ψάλλω πηκτίδα τῇ φίλῃ κωμάζων παϊδὶ ἁβρῇ.

18. [5.]

Ψάλλω δ' εἴκοσι (Λυδόν)
χορδῆσιν μαγάδην ἔχων, ὦ Λεύκασπι, σὺ δ' ἡβᾷς.

19. [17.]

Ἀρθεὶς δηὖτ' ἀπὸ Λευκάδος
πέτρης ἐς πολιὸν κῦμα κολυμβῶ μεθύων ἔρωτι.

20. [18.] 780

Τίς ἐρασμίην
τρέψας θυμὸν ἐς ἥβην τερένων ἡμιόπων ὑπ' αὐλῶν
ὀρχεῖται;

Πριάπειον, οἷον· Ἠρίστησα μὲν κτλ. Πολυσχηματιστον μὲν οὖν αὐτὸ ποιοῦσιν, ἀλλὰ τόγε καθαρῶς ἐσχηματισμένον ἐστὶ τοιοῦτον. — V. 1 affert etiam s. poetae n. Schol. Heph. 104: *Ἠριστήσαμεν* (ita ibi legitur, et in fine Turn. E *ἀπόκλασμα*). Anacreontis esse versus docet Athen. XI p. 472 E: *Κάδος· Σιμμίας ποτήριον, παρατιθέμενος Ἀνακρέοντος· ἠρίστησα . . . κάδον.* Eadem repetit XIV 646 D. Cf. Poll. X 70: *καὶ Ἀνακρέων δέ φησιν· Οἴνου δ' ἐξέπιον κάδον.* et Apollon. Lex. Homer. 166, 6. V. 1 et 2 et praeterea *ψάλλω* affert Apostol. VIII 68 c. — V. 1. *λεπτοῦ μικρὸν* Heph., *λεπτὸν* Ath. — V. 2. *ἐξέπιον*, Ath. altero loco *ἔπιον*. — *κάδον* ap. Heph. NCH, alii *κάδδον*. — V. 3. *παϊδὶ ἁβρῇ* Hermann, nisi *παῖδ' ἁβρῇ* cum Hotchkisio malis, Hephaestionis libri et edd. *παιδὶ ἁβρῇ, ποδὶ ἰ ἅβρῃ, ποδὶν ἁβρῶς*, Scaliger *ποδὶ ἁβρῷ*, Hartung *Πολυνέβρῃ* quod nomen inauditum, Emperius *ποδὶ λαβρῷ*. Elisionem satis tuetur inscriptio attica, in qua *παίδ' ἐπέθηκε* legitur, sed Aeschyli versus Pers. 851 *ὑπαντιάζειν παίδ' ἐμῷ πειράσομαι* suspectus.

Fr. 18. Athen. XIV 634 C: *ὁ μὲν γὰρ ἥδιστος Ἀνακρέων λέγει που· Ψάλλω κτλ.* Eadem repetit 635 C usque ad *Λεύκασπι.* — V. 1. *Λυδόν* adieci, cf. Athen. XIV 634 F: *ἡ γὰρ μάγαδις ὄργανόν ἐστι ψαλτικόν, ὡς Ἀνακρέων φησί, Λυδῶν τε εὕρημα.* — V. 2. *χορδῆσιν μαγάδην* scripsi, vulgo *χορδαῖσιν μάγαδιν*, vid. Pollux. IV 61: *μαγάδην* (A *μήδην*, Bekker *μαγάδιν*) *δ' ὀνομάζει μὲν Ἀνακρέων.* — *ἔχων*, Hecker *λέγων*, idem *συνήβα* coniecit pro *σὺ δ' ἡβᾷς*. Hartung scripsit: *ψάλλω δ' εἰκοσίχορδον Λυδίην μαγάδην ἔχων· ὦ Λεύκασπι, συνήβα.*

Fr. 19. Hephaest. 130: *Ὅταν δὲ ἔμπαλιν ἡ τάξις ᾖ, προῳδὸς καλεῖται, ὡς παρ' Ἀνακρέοντι· Ἀρθεὶς κτλ.* affert etiam Apostol. III 90 c, et verba *μεθύων ἔρωτι* Philostr. Imag. I 15. — V. 1. *δηὖτ'* scripsi, vulgo *δ' ηὖτ'*, A *δηῦτ'*. — *Λευκάδος*, fort. *λευκάδος* praestat; cf. Eurip. Cyclop. 166. Hartung *λισσάδος* suspicatur. — V. 2. *ἐς*, A *εἰς*. — *κολυμβῶ*, Schneidewin *κολυμβέω*.

Fr. 20. Athen. IV 177 A: *Οἴδαμεν δὲ καὶ τοὺς ἡμιόπους καλουμένους, περὶ ὧν φησιν Ἀνακρέων· Τίς ἐρ. τρέψας* (*θρέψας* PVL) *θ. ἐσέβην τέρεν' ὡς ἡμίοπον ὑπ' αὐλῶν ὀρχ.* — V. 2. *ἐς ἥβην* correxi, idemque Mehlhorn emendavit, *τερένων ἡμιόπων* Casaubonus correxit, cf. Athen. IV 182 C: *εἰσὶ δ' οἱ αὐτοὶ τοῖς παιδικοῖς καλουμένοις, οἷς οὐκ οὖσιν ἐναγωνίοις πρὸς τὰς εὐωχίας χρῶνται, διὸ καὶ τέρενας αὐτοὺς* (*ἡμιόπους*) *κέκληκεν ὁ Ἀνακρέων.*

ΕΙΣ ΑΡΤΕΜΩΝΑ.

21. [19.]

Ξανθῇ δέ γ' Εὐρυπύλῃ μέλει
ὁ περιφόρητος Ἀρτέμων·
πρὶν μὲν ἔχων βερβέριον, καλύμματ' ἐσφηκωμένα,
καὶ ξυλίνους ἀστραγάλους ἐν ὠσί, καὶ ψιλὸν περί
πλευρῇσι ⟨δέρριον⟩ βοός,
νήπλυτον εἴλυμα κακῆς ἀσπίδος, ἀρτοπώλισιν
κἀθελοπόρνοισιν ὁμιλέων ὁ πονηρὸς Ἀρτέμων,
κίβδηλον εὑρίσκων βίον·
πολλὰ μὲν ἐν δουρὶ τιθεὶς αὐχένα, πολλὰ δ' ἐν τροχῷ,
πολλὰ δὲ νῶτον σκυτίνῃ μάστιγι θωμιχθείς, κόμην
πώγωνά τ' ἐκτετιλμένος·
νῦν δ' ἐπιβαίνει σατινέων, χρύσεα φορέων καθέρματα
πάϊς Κύκης, καὶ σκιαδίσκην ἐλεφαντίνην φορεῖ 781
γυναιξὶν αὔτως.

22. [20.]

Σίμαλον εἶδον ἐν χορῷ πηκτίδ' ἔχοντα καλήν.

Fr. 21. Athen. XII 533 E: *Χαμαιλέων δ' ὁ Ποντικὸς ἐν τῷ περὶ Ἀνακρέοντος προθεὶς τό· Ξανθῇ δ' Εὐρυπύλῃ μ. ὁ. π. Ἀ., τὴν προσηγορίαν ταύτην λαβεῖν τὸν Ἀρτέμωνα διὰ τὸ τρυφερῶς βιοῦντα περιφέρεσθαι ἐπὶ κλίνης. καὶ γὰρ Ἀνακρέων αὐτὸν ἐκ πενίας εἰς τρυφὴν ὁρμῆσαί φησιν ἐν τούτοις· Πρὶν μὲν κτλ.* — V. 1. *Ξανθῇ δέ γ'* scripsi, CL *ξανθῇ δ'*, sed PV *ξανθῇ δ' ἐν*. Hartung nomen mulieris corruptum esse censet, et coniecit *ξανθῇ δὲ Νεοφίλῃ*. — V. 2. *περιφόρητος Ἀρτέμων* resp. Schol. Arist. Acharn. 830. Plut. vit. Pericl. c. 27 cf. etiam Paroemiogr. T. I 441. Ceterum valde dubito an v. 1 et 2 cohaereant cum reliquis: videntur enim hi duo versus ad aliud carmen referendi, quod *dimetris iambicis* conscriptum, ut iam anapaestus pro iambo in nomine proprio nihil habeat offensionis. — V. 3. *βερβέριον* ABPV, *βερβέρινα* L, *κερβέριον* Schweighaeuser. — *καλύμματ'* L, BPV *κάλυμμά τ'*, Hartung *κάνδυματ'*. — V. 4. *ὠσί*, B *ὠσίν*. — V. 5. *δέρριον* de coniectura adieci. — V. 6. *νήπλυτον* Schoemann, APV *νεόπλουτον*, CL *νεόπλυτον*, Hartung *κἄπλυτον*. — *εἴλυμα* AC, *εἶλυμα* B, *εἴλημα* PVL. — *ἀρτοπώλισιν* A, *ἀρτοπώλοισιν* BPV, *ἀρτοπώλησιν* CL. — V. 7. *κἀθελοπόρνοισιν* scripsi, *κἠθ.* Elsmley, *καὶ ἐθελοπόρνοισιν* vulgo, *καὶ ἐθελοπόροισιν* PV. — *Ἀρτέμων* VL, sed ABP *ὁ Ἀρτέμων*. — V. 10. *δὲ νῶτον* scripsi, Elmsley *δὲ νῶτα*, P *δὲ νώτῳ*, B *δ' ἐν ὤτω*, VL *δ' ἐν νώτῳ*. — *σκυτίνῃ* Elmsley, ABV *σκυτίνῳ*, P *σκυθίνῳ*, L *σκυτίνᾳ*. — *θωμιχθείς*, P *θωμιθείς*, — V. 12. *σατινέων* PL, *σατινεται* V. — *φορέων* L, sed ABPV *φαρέων*. — V. 13. *πάϊς* Dindorf, vulgo *παῖς*, Hermann *ὁ παῖς*, Hartung *παῖς Κικύμης*. — *φορεῖ*, Elmsley *φορέει*.

Fr. 22. Hephaest. 101: *Ὥσθ' ὅλον αὐτὸ χοριαμβικὸν ἐπίμικτον γενέσθαι, ὅμοιον τῷ Ἀνακρεοντείῳ τῷδε· Σίμαλον κτλ.* (B *Σίμαλλον*, Fl *Σίμετρον*). — *πηκτίδ'*, CS *πυκτίδ'*.

23. [21.]

Ἐκ ποταμοῦ 'πανέρχομαι πάντα φέρουσα λαμπρά.

24. [22.]

Ἀναπέτομαι δὴ πρὸς Ὄλυμπον πτερύγεσσι κούφαις
διὰ τὸν Ἔρωτ'· οὐ γὰρ ἐμοὶ παῖς ἐθέλει συνηβᾶν.

25. [23.]

Ὅς μ' ἐσιδὼν γένειον
ὑποπόλιον χρυσοφαέννων πτερύγων ἀήταις
παραπέτεται.

26. [24.]

Χεῖρά τ' ἐν ἠγάνῳ βαλεῖν.

27. [25.] 782

Ἥλιε καλλιλαμπέτη.

Fr. 23. Hephaest. 52: Πολὺ δέ ἐστι καὶ τὸ πρὸς τῇ κατακλεῖδι τὴν δευτέραν συζυγίαν ἰαμβικὴν ἔχον, οἷόν ἐστι παρὰ μὲν Ἀνακρέοντι· Ἐκ κτλ. CMP παρέρχομαι. Affert Apostol. VI 88, c ubi καλά pro λαμπρά.

Fr. 24. V. 1 affert Hephaest. 52: Ἀνακρέων δὲ ἐπετήδευσε τὴν πρώτην συζυγίαν δι' ὅλου ᾄσματος ἐκ τριβράχεος καὶ ἰάμβου ποιῆσαι, ὡς εἶναι κοινὴν λύσιν τῆς τε χοριαμβικῆς καὶ τῆς ἰαμβικῆς· Ἀναπ. κτλ. ibique Sch. repetit. Gramm. ined. in cod. Paris. 2881 fol. 141: Ἀνακρέων δὲ ἐπετήδευσε τὴν πρώτην συζυγίαν ἐκ τριβράχεος καὶ ἰάμβου ποιῆσαι, ὅθεν ἴσως καὶ χοριαμβικὸν ἐκλήθη κατὰ τὸν Λογγῖνον· μᾶλλον γὰρ τροχιαμβικὸν οὕτως καλεῖσθαι ὤφειλεν· οἷον τὸ· ἀναπέτομαι . . . πτερύγεσι κούφαις. Integrum locum Schol. Arist. Av. v. 1372 affert: ταῦτα δὲ παρὰ τὰ Ἀνακρέοντος· Ἀναπέτομαι πρὸς Ὀ. π. κ. διὰ τὸν ἔρωτα· οὐ γὰρ ἐμοὶ θέλει συνηβᾶν. διὸ καὶ τὸ χ ἔχουσιν οἱ δύο στίχοι. — V. 1. κούφαις, Schneidewin κούφης sicut fr. 25 ἀήτης. Recte v. 2 Porsonus scripsit παῖς ἐθέλει. Resp. huc Iulian. Epist. XVIII et huc refero etiam Himer. Or. XIV 4: τάχα δ' ἂν καὶ ἠπείλησα τὴν ἀπειλήν, ἣν Ἀνακρέων ἀπειλεῖ τοῖς Ἔρωσιν· ἐκεῖνος γάρ ποτε ἐρασθεὶς ἐφήβου καλοῦ, ἐπειδήπερ ἑώρα τὸν ἔφηβον ὀλίγον αὐτοῦ φροντίζοντα, λύραν ἁρμόσας ἠπείλει τοῖς Ἔρωσιν, εἰ μὴ αὐτῷ τιτρώσκοιεν αὐτίκα τὸν ἔφηβον, μηκέτι μέλος εὔφημον εἰς αὐτοὺς ἀνακρούσασθαι.

Fr. 25. Lucian. Herc. Gall. c. 8: ὥστε ἰσχὺς μὲν καὶ τάχος καὶ κάλλος καὶ ὅσα σώματος ἀγαθὰ χαιρέτω, καὶ ὁ ἔρως ὁ σός, ὦ Τήϊε ποιητά, εἰσιδών (ἐσιδών FQ) με ὑποπόλιον γένειον, χρυσοφαέννων (χρυσοφαεννῶν A, χρυσὸν φαεννῶν B, χρυσοφαέων aY) εἰ βούλεται, πτερύγων ἢ ἀετοῖς παραπετέσθω. quae emendavi, sunt autem ex eodem carmine, ex quo petitum est fr. 24.

Fr. 26. Athen. VI 229 B: Χωρὶς δὲ τοῦ τ̄ στοιχείου Ἴωνες ἤγανον λέγουσιν, ὡς Ἀνακρέων· Χεῖρα κτλ. Eadem Eust. Od. 1862, 12. Cf. id. Il. 244, 46 et 701, 18.

Fr. 27. Priscian. VII 7: „Nec mirum, quum Graecorum quoque poetae similiter inveniantur protulisse vocativos in supradicta terminatione. Anacreon Ἥλιε καλλιλαμπέτη posuit pro καλλιλαμπέτα.“ ubi

28. [26.]

Ἀσπίδα ῥίψας ποταμοῦ καλλιρόου παρ' ὄχθας.

29. [122.]

. . . Ἐγὼ δ' ἀπ' αὖτις φύγον ὥστε κόκκυξ.

30. [27.]

Τὸν μυροποιὸν ἠρόμην Στράττιν εἰ κομήσει.

31. [28.]

Δακρυόεσσάν τ' ἐφίλησεν αἰχμάν.

32. [29.]

Ὠινοχόει δ' ἀμφίπολος μελιχρόν
οἶνον, τρικύαθον κελέβην ἔχουσα.

33. [30.] 783

Οὐδ' ἀργυρέη κω τότ' ἔλαμπε πειθώ.

34. [31.]

Εἶμι λαβὼν ἐς Ἥρης.

codd. varias corruptelas exhibent neque tamen lectio incerta. *Καλλιλαμπέτη* hinc affert Et. M. 670, 19. Cram. An. Ox. III 389, 21. 390, 14. Favorin. 363.

Fr. 28. Attil. Fortunat. 359: „Secundum colon Anacreon sic: *Ἀσπίδα ῥῖψ' ἐς π. καλλιρόου προχοάς.* Ita Ursinus, cod. Gaisf. *ριψες ποταμον ιλλορον τροχοας.* Quae correxi, nam metrum choriambicum requiritur; Schneidewin coni. *καλλιρόοιο δίνας.* Est autem hic versus ex eodem, opinor, carmine, ex quo fr. 29, qui non trimeter sed tetrameter primo pede carens est, videturque unus tantum versus ⏒ ⏑ ⏑ – ⏑ – – inter fr. 28 et 29 intercidisse.

Fr. 29. Et. Gud. 333, 22: *Κόκκυξ· ὄρνεον ἐαρινὸν παραπλήσιον ἱέρακι, ἢ ὄρνεον δειλότατον, ὡς Ἀνακρέων φησί· ἐγὼ δ' αὐτῆς φεύγω ὥστε κόκκυξ.* Cf. Et. M. 524, 51 ubi Havn. *ἀπ' αὐτῆς φεύγω*, V *ἀπ' αὐτῆς φάγω.* Scripsi *ἀπ' αὖτις*, Schneidewin *φύγον*, qui praeterea *αὔτης* coni.

Fr. 30. Hephaest. 96: *Ἀνακρέων οὐκ ἰαμβικῷ, ἀλλὰ χοριαμβικῷ ἐπιμίκτῳ πρὸς τὰς ἰαμβικὰς ἐπήγαγε τὸ ἰθυφαλλικόν· Τὸν λυροποιὸν κτλ.* (E Turn. *στράτιν* et *κομίσει*). Emendavi auctore Poll. VII 177: *μυροποιός· Ἀνακρέων.* — *ἠρόμην*, Hecker *ἠχθόμην.*

Fr. 31. Hephaest. 52: *Τρίμετρα δέ, οἷον τὸ Ἀνακρέοντος· Δακρυόεσσάν κτλ.* ubi N *ἐφίλησαν.* Repetit Schol. Heph., adde Schol. Hermog. Rhett. VII 488 ubi *δακρυόεσσά τε φίλησεν αἰχμήν.*

Fr. 32. Athen. XI 475 F: *Ἀνακρέων· Ὠινοχόει κτλ.*

Fr. 33. Schol. Pind. Isth. II 9: *Τοιοῦτον δέ τι καὶ Ἀνακρέων εἴρηκε, καὶ μήποτε ἡ ἀπότασίς ἐστιν εἰς τὰ ὑπ' ἐκείνου εἰρημένα· φησὶ γάρ· οὐδ' ἀργυρέη κότ' ἔλαμπε Πειθώ.* ed. Rom. *ἢ κότε ἔλ. πυθώ.* scripsi *κω τότ'*, Schneidewin *κώκοτ'.* Ceterum cf. Tzetz. Chil. VIII 828.

Fr. 34. Attil. Fortunat. 359 ed. Gaisf.: „Apud Anacreontem: *εἰμὶ λαβὼν εἰσάρας.*“ Scripsi *εἶμι* et *ἐς Ἥρης*, antea *ἐς ὥρας* conieci.

35. [32.]

Ἱπποθόρον δὲ Μυσοί
εὑρεῖν μῖξιν ὄνων πρὸς ἵππους.

36. [36.]

Αἰνοπαθῆ πατρίδ' ἐπόψομαι.

37. [34.]

Τίλλει τοὺς κνάμους ἀσπιδιώτης.

38. [35.]

Χήλινον ἄγγος
ἔχον πυθμένας ἀγγειοσελίνων.

39. [36.] 784

Ἀσήμων ὑπὲρ ἑρμάτων φορεῦμαι.

Fr. 35. Schol. Hom. Il. ω 278: *Μυσοὶ πλησίον ὄντες Ἐνετων, ὅθεν ἡμιόνων γένος, ἢ ὡς καὶ παρὰ Μυσοῖς διαφόρων ὄντων· Ἀνακρέων· Ἱππόθορον . . . ἵππους, ἐξ ὧν ἡμιόνοι.* Fort. scr. v. 2 *εὗρον.* Ceterum Schneidewin v. 1 coni. *ἱπποθόρῳ* (i. e. *ἱππ. νόμῳ*). Hartung *πρὸς ἵππους* delet. Hecker omnino Anacreonti abiudicat, corrigens *Ἡρακλέων.*

Fr. 36. Schol. Hom. Od. μ 313: *Αἰνοπαθῆ πατρίδ' ἐπόψομαι· παρ' Ἀνακρέοντι.* Addo Cram. Anecd. Par. III 480, 31: *Ἔδει χωρὶς τοῦ ν̄ ζαῆ, ὡς τὸ ἀκραῆ Ζέφυρον, ἔστιν οὖν Αἰολικὸν τὸ μετὰ τοῦ ν̄ καὶ ἔδει αὐτὸ Αἰολικῶς βαρύνεσθαι, ὡς τὸ αἰνοπαθῆ πατρίδ' ἐπόψομαι παρὰ Ἀνακρέοντι.* videtur Anacreon scripsisse: *Αἰνοπαθῆν ἴνα πατρίδ'* (vel *Ἀθαμαντίδ'* vid. fr. 117) *ἐπόψομαι*, sed Aeolicus accentus non requiritur. Hartung *αἰνοπαθὴν ἀπάτερθεν* (vel *Ἀθαμαντίδ'*) *ἐπ.* Hermann Opusc. VI 1, 272 coniungit cum Hesiodi fragmento ap. Zonaram 948 (*Ἡσίοδος· αἰετὸν μὴ πετῆνα γενέσθαι*) in hunc modum:

Αἰετόν με πετῆνα γενέσθαι,
Αἰνοπαθῆ ἵνα πατρίδ' ἐπόψομαι.

Fr. 37. Et. M. 713, 7: *Σίλλοι ἐπίσκωμμα κατὰ τροπὴν τοῦ τ εἰς σ τίλλοι τινες. τίλλειν δὲ τὸ σκώπτειν, ὡς λέγει Ἀνακρέων· τίλλει κτλ.* ubi V *κύνας σπίδας*, M *κυνασπίδας*, D *κυμα ἀσπιδ.* Cf. ibid. 463, 10 et Orion 148, 12.

Fr. 38. Pollux VII 172: *Χήλινον δὲ ἄγγος ἔχον πυθμένας ἐλειοσελίνων ὅταν εἴπῃ Ἀνακρέων τὸ ἐκ σχοινίων πλέγμα δηλοῖ. ἐλειοσελίνων* Hemsterhuys, vulgo *ἀγγελοσελίνων*, et sic vel *ἀγγεοσελίνων* codd. (solus C *ἐλείων*), itaque *ἀγγειοσελίνων* scripsi, *δὲ* Pollucis est. Resp. Hesychius: *Κεχήλωμαι . . . καὶ χήλινον τὸ πλεκτὸν ὁ* (l. *ὡς*) *Ἀνακρέων.*

Fr. 39. Hesych. v. *Ἕρμα· ἔρεισμα ἢ ἔργμα ἢ τὸν πετρώδη καὶ ἐπικυματιζόμενον, ὥστε μὴ βλέπειν, τόπον τῆς θαλάσσης. καὶ Ἀνακρέων· ἀσήμων κτλ.* Resp. huc Harpocrat. 86 ed. Bekk. ubi libri *ἑρμάν, ἑρμᾶν, ἑρμίαν.* Phot. 15, 1 (ubi cod. *ἑρμᾶν*), Suidas v. *ἑρμάν*, Zonar. 860 (*ἑρμᾶν*). Item huc refero Hesychii glossam. *ἀσήμων· ἀφανῶν, ἀγνώστων.*

40. [37.]

Πλεκτὰς δ' ὑποθυμίδας
περὶ στήθεσι λωτίνας ἔθεντο.

41. [38.]

Σὲ γάρ φη
Ταργήλιος ἐμμελέως
δισκεῖν.

42. [39.]

Ὁ Μεγίστης δ' ὁ φιλόφρων δέκα δὴ μῆνες, ἐπεί τε
στεφανοῦταί τε λύγῳ καὶ τρύγα πίνει μελιηδέα.

43. [40.]

Καθαρῇ δ' ἐν κελέβῃ πέντε τε καὶ τρεῖς ἀναχείσθων.

44. [41.] 785

Πολιοὶ μὲν ἡμὶν ἤδη κρόταφοι κάρη τε λευκόν,

Fr. 40. Athen. XV 674 D: *Ἐκάλουν δὲ καὶ οἷς περιεδέοντο τὸν τράχηλον στεφάνους ὑποθυμιάδας ... καὶ Ἀνακρέων· πλεκτὰς κτλ.* — V. 1. *ὑποθυμίδας* Dindorf, v. *ὑποθυμιάδας*. — V. 2. *στήθεσι*, A *στήθεσσιν*. Resp. huc Athen. XV p. 678 D.

Fr. 41. Apollon. de Synt. 238: *Καὶ δὴ παρείπετο τῷ χρῶ παραγωγὴ τοῦ χρῆμι, ὡς φημί, ἀφ' οὗ τρίτον πρόσωπον χρῆσιν ὡς φησίν, ἐξ οὗ τὸ χρὴ ἐν ἀποκοπῇ ἀπετελεῖτο, ὁμοίως τῷ παρ' Ἀνακρέοντι· σὲ γάρ* (haec add. in A corr.) *φη* (hoc om. BCDMS) *ταργήλιος ἐμμελέως* (ita Bekker, A *ἐμμελ.ως*, vulgo *ἐμμελῶς*) *δισκεῖν*. Verba *σὲ γάρ φη ταργήλιος* etiam afferunt Apollon. de Adv. in Bekk. An. II 543, 7. Schol. Hom. Il. ε 256. Adde praeterea Cram. An. Ox. IV 411, 23: *Ἀπὸ δὲ τοῦ φημὶ γίνεται φής, φησί καὶ κατὰ ἀποκοπὴν φῆς* . . . (leg. *φῆ· σὲ*) *γὰρ φῆ Ταργήλιος ἀντὶ τοῦ φησί· τὸ δὲ Ταργήλιον ὄνομα δαίμονός ἐστι.* et Choerob. II 495. Fortasse autem glyconei fuerunt:

Σὲ γάρ
φῆ Ταργήλιος ἐμμελέως
δισκεῖν.

Ceterum Hecker *ἐμμενέως*, Cobet *διοσκεῖν* coniecerunt: Hartung, qui *φὴ* dicit nihil aliud quam *ἔφη* esse, *δικεῖν* scripsit.

Fr. 42. Athen. XV 671 E: *Διὰ τί παρὰ τῷ αὐτῷ ποιητῇ (Ἀνακρέοντι) λύγῳ τινὲς στεφανοῦνται; φησὶ γὰρ ἐν τῷ δευτέρῳ τῶν μελῶν· Μεγίσθης κτλ. Ὁ γὰρ τῆς λύγου στέφανος ἄτοπος κτλ.* et eosdem versus repetit ib. p. 673 D. — V. 1. *ὁ Μεγίστης* Gaisford, vulgo *Μεγίσθης*, sed B *Μεγίστης* — *ἐπεί τε* AP, *ἐπείτ'* B, vulgo *ἐπειδή*. — V. 2. *τε λύγῳ* P, vulgo *τῇ λύγῳ* (B *λόγῳ*). Praeterea priore l. P *στεφανοῦνται*, B *ἐστεφανοῦνται*, et deinde ABP *πίνουσι*. Resp. huc Athen. XV 674 A et Poll. VI 107.

Fr. 43. Athen. X 430 D: *Ὁ δ' Ἀνακρέων ἔτι ζωρότερον, ἐν οἷς φησί· Καθαρῇ κτλ.* — *πέντε τε* Dindorf, vulgo *πέντε*. — *τρεῖς*, A *τρίς*. — *ἀναχείσθων* scripsi, vulgo *ἀναχείσθω*.

Fr. 44. Stob. Floril. CXVIII 13: *Ἀνακρέοντος*. Miro iudicio Bernhardy Hist. Litt. Graec. II 500 et 503 (p. 614 ed. 2) hoc carmen a *monacho* Anacreonti subditum esse censet. — V. 1. *ἡμὶν* Stephanus, nisi *ἥμιν*

χαρίεσσα δ' οὐκέθ' ἥβη πάρα, γηράλεοι δ' ὀδόντες.

γλυκεροῦ δ' οὐκέτι πολλὸς βιότου χρόνος λέλειπται·
διὰ ταῦτ' ἀνασταλύζω θαμὰ Τάρταρον δεδοικώς.

Ἀΐδεω γάρ ἐστι δεινὸς μυχός, ἀργαλέη δ' ἐς αὐτόν
κάθοδος· καὶ γὰρ ἑτοῖμον καταβάντι μὴ ἀναβῆναι.

45. [42.]

Ἐμὲ γὰρ λόγων (ἐμῶν) εἵνεκα παῖδες ἂν φιλοῖεν·
χαρίεντα μὲν γὰρ ᾄδω, χαρίεντα δ' οἶδα λέξαι.

46. [43.]

Ἔραμαι (δέ) τοι συνηβᾶν· χαριτεῦν ἔχεις γὰρ ἦθος.

47. [44.]

Ἀστραγάλαι δ' Ἔρωτός εἰσιν μανίαι τε καὶ κύδοιμοι.

ΠΡΟΣ ΣΜΕΡΔΙΗΝ. 786

48. [45.]

Μεγάλῳ δηὖτέ μ' Ἔρως ἔκοψεν ὥστε χαλκεὺς
πελέκει, χειμερίῃ δ' ἔλουσεν ἐν χαράδρῃ.

malis, vulgo *ἡμῖν*. — *κάρη* A Vind., vulgo *κάρα*. — V. 2. *οὐκέθ'*, *οὐκέτ'* Schneidewin. — V. 4. *ἀνασταλύζω*, Arsen. *ἀνασταλίζω*, Scaliger *ἄλαστα λύζω*, Hartung *ἄρ' ἀσταλύζω*. — V. 5. *ἀργαλέη*, A *ἀργαλή*. — V. 6. *ἑτοῖμον* Schneidewin, vulgo *ἕτοιμον*.

Fr. 45. Max. Tyr. XXIV 9: *Ἡ δὲ τοῦ Τηΐου σοφιστοῦ τέχνη τοῦ αὐτοῦ ἤθους καὶ τρόπου· καὶ γὰρ πάντων ἐρᾷ τῶν καλῶν καὶ ἐπαινεῖ πάντας· μεστὰ δὲ αὐτοῦ τὰ ᾄσματα τῆς Σμέρδιος κόμης καὶ τῶν Κλεοβούλου ὀφθαλμῶν καὶ τῆς Βαθύλλου ὥρας· ἀλλὰ κἀν τούτοις τὴν σωφροσύνην ὅρα· Ἔραμαι κτλ. — καὶ αὖθις καλὸν εἶναι τῷ ἔρωτι τὰ δίκαια φησί. ἤδη δέ που καὶ τὴν τέχνην ἀπεκαλύψατο· Ἐμὲ γὰρ λόγων εἵνεκα κτλ.* — V. 1. *ἐμῶν* adieci. — V. 2. *ᾄδω* Valckenaer, vulgo *διδῷ*. Schneidewin *μέν γ' ἀείδω*.

Fr. 46. Max. Tyr. XXIV 9: *Ἀλλὰ κἀν τούτοις τὴν σωφροσύνην (Ἀνακρέοντος) ὅρα· ἔραμαι τοι συνηβᾶν· χάριεν γὰρ ἔχεις ἦθος*, quae correxi. Cf. Herodian. *περὶ μον. λέξ.* 14, 21: *ὁ μέντοι Ἀνακρέων καὶ χαριτόεις εἶπεν.* — *ἦθος*, Hartung *ἄνθος*.

Fr. 47. Schol. Il. ψ 88: *Αἱ πλείους τῶν κατ' ἄνδρα ἀμφ' ἀστραγάλῃσιν ἐρύσσας· καὶ ἔστιν Ἰωνικώτερον· Ἀστρ. κτλ. Ἀνακρέων.* scripsi *εἰσιν* et *κύδοιμοι*, vulgo *εἰσι* et *κυδοίμοιο*, Hartung *Στραγάλαι* novavit.

Fr. 48. Hephaest. 68: *Καὶ τῷ βραχυκαταλήκτῳ δὲ Ἀν. ὅλα ᾄσματα συνέθηκε· Μεγάλῳ* (*μεγάλων* C, *μεγάλου* P) *κτλ.* Affert etiam gramm.

49. [46.]

Ἀπέκειρας δ' ἁπαλῆς κόμης ἄμωμον ἄνθος.

50. [47.]

Θρηκίην σίοντα χαίτην.

---

51. [48.]

Ἀπό μοι θανεῖν γένοιτ'· οὐ γὰρ ἂν ἄλλη
λύσις ἐκ πόνων γένοιτ' οὐδαμὰ τῶνδε.

52. [49.]

Ἀγανῶς οἶά τε νεβρὸν νεοθηλέα
γαλαθηνόν, ὅστ' ἐν ὕλης κεροέσσης 787
ἀπολειφθεὶς ὑπὸ μητρὸς ἐπτοήθη.

Harlei. ap. Gaisf. Heph. p. 322 ed. sec. ubi ἔλισσεν v. 2 legitur. Scripsi δηὖτε et Ἔρως, vulgo δ' ἠὖτε et ἔρως. Resp. hoc carmen Athen. XII 540 E et Aelian. Var. Hist. IX 4.

Fr. 49. Phavor. ap. Stob. Floril. LXVI 6: Πρὸς ταῦτα γελοῖος ἂν φανείη ὁ Ἀνακρέων καὶ μικρολόγος, τῷ παιδὶ μεμφόμενος, ὅτι τῆς κόμης ἀπεκείρατο, λέγων ταῦτα· Ἀπ. κτλ. Malim ἀπεκείραο: nam ad Smerdien ipsum, non ad Polycratem culpam retulit poeta, ut Aelian. V. H. IX 4 dicit: ὁ δὲ οὐ προσεποιήσατο αἰτιᾶσθαι τὸν Πολυκράτην σωφρόνως καὶ ἐγκρατῶς, μετήγαγε δὲ τὸ ἔγκλημα ἐπὶ τὸ μειράκιον, ἐν οἷς ἐπεκάλει τόλμαν αὐτῷ καὶ ἀμαθίαν, ὁπλισαμένῳ κατὰ τῶν ἑαυτοῦ τριχῶν.

Fr. 50. Etym. M. 714, 38: Ἔστι γὰρ καὶ σίω διὰ τοῦ ῑ, ᾧ χρῆται Ἀνακρέων, οἷον· Θρηϊκίην κτλ. scripsi Θρηκίην.

Fr. 51. Hephaest. 69: Τῶν δὲ τριμέτρων τὸ μὲν ἀκατάληκτον ... παρὰ δὲ τῷ Ἀνακρέοντι ἑτέρως ἐσχημάτισται Ἀπό μοι κτλ. Eadem Apostol. III 60 b. — V. 2. οὐδαμὰ, A οὐδάμα.

Fr. 52. Athen. IX 396 D: Καὶ Ἀνακρέων δέ φησιν· Οἷά τε ν. Eadem Aelian. Hist. An. VII 39: Ὅσοι λέγουσι θῆλυν ἔλαφον τὰ κέρατα οὐ φύειν, οὐκ αἰδοῦνται τοὺς τοῦ ἐναντίου μάρτυρας ... καὶ Ἀνακρέων ἐπὶ θηλείας φησίν· οἷά τε νεβρὸν ... ἐπτοήθη· Πρὸς δὲ τοὺς μοιχῶντας τὸ λεχθὲν καὶ μέντοι καὶ φάσκοντας δεῖν ἐροέσσης γράφειν, ἀντιλέγει κατὰ κράτος Ἀριστοφάνης ὁ Βυζάντιος καὶ ἐμέ γ' αἱρεῖ τῇ ἀντιλογίᾳ. ἐροέσσης enim coni. Zenodotus, vid. Schol. Pind. Ol. III 52: Τέτακται δὲ καὶ παρὰ Ἀνακρέοντι· Ἀγανῶς οἷά τε κτλ. Ζηνόδοτος δὲ μετεποίησεν ἐροέσσης. Adde Eust. Il. 711, 34. Respicit etiam Pollux V 76. — V. 1. ἀγανῶς solus Schol. servavit. Hartung νεοθηλέα delet. Fort. totus locus sic digerendus:

Ἀγανῶς οἷά τε νεβρὸν
νεοθηλέα γαλαθηνόν, ὅστ' ἐν ὕλῃ
κεροέσσης ἀπολειφθεὶς ὑπὸ μητρὸς ἐπτοήθη.

V. 2. ὕλης scripsi, Schol. ὕλαις, ὕλῃ rell. — V. 3. ἀπολειφθεὶς Athen., ὑπολειφθεὶς Ael. (ubi cod. Par. 2 νεοθῆλυν ... ἦτε vel οἷτε ... κροκοέσσης ὑπολειφθεῖσ') et Schol. — ὑπὸ Schol., ἀπὸ ceteri.

53. [50.]

Σινάμωροι πολεμίζουσι θυρωρῷ.

54. [52.]

Σικελὸν κότταβον ἀγκύλῃ παΐζων.

55. [53.]

Ἐπὶ δ' ὀφρύσιν σελίνων στεφανίσκους
θέμενοι θάλειαν ὀρτὴν ἀγάγωμεν
Διονύσῳ.

56. [54.]

Διονύσου σαῦλαι Βασσαρίδες.

* 57 [55.]

Οὐδ' αὖ μ' ἐάσεις μεθύοντ' οἴκαδ' ἀπελθεῖν;

58. [56.] 788

Φίλη γὰρ εἶ ξένοις, ἔασον δέ με διψῶντα πιεῖν.

59. [57.]

*Ἀπὸ δ' ἐξείλετο θεσμὸν μέγαν * **

Fr. 53. Et. M. 713, 26: *Σινάμοροι* (*σινάμωροι* VDM a m. pr.) *π. θυρωροί* (V *θῦρροι*) *ἐν δευτέρῳ Ἀνακρέων. μεμορημένοι, φησί, πρὸς τὸ σίνεσθαι.* — scripsi *θυρωρῷ.*

Fr. 54. Athen. X 427 D: *Ἐχρῶντο γὰρ ἐπιμελῶς τῷ κοτταβίζειν ὄντος τοῦ παιγνίου Σικελικοῦ, καθάπερ καὶ ὁ Ἀνακρέων ὁ Τήϊος πεποίηκε· Σικελικὸν κότταβον ἀγκύλῃ δαΐζων.* — *Σικελὸν* Grotefend, *παΐζων* ego scripsi, *λελίζων* Emperius coni.

Fr. 55. Athen. XV 674 C: *Ἐστεφανοῦντο δὲ καὶ τὸ μέτωπον, ὡς ὁ καλὸς Ἀνακρέων ἔφη· Ἐπὶ κτλ.* Eadem Eust. 1908, 55 omisso v. *Διονύσῳ.* et Schol. Pind. Ol. III 19: *Ἀνακρέων· ἐπὶ δ' ὀφρύσιν σελίνων στέφανον* (cod. *στεφάνων*) *θέμενοι.* — V. 1. *ἐπὶ*, ap. Ath. L Cant. *ἐπεί.* — V. 2. *ὀρτὴν* Hermann, v. *ἑορτήν.*

Fr. 56. Hephaest. 69: *τῶν δὲ τριμέτρων τὸ μὲν ἀκατάληκτον . . . παρὰ δὲ τῷ Ἀνακρέοντι ἑτέρως ἐσχημάτισται . . . τὸ δὲ καταληκτικόν· Διονύσου κτλ.* — E *Διονύσσου σαῦλε.* Fort. *σαῦλαι.*

Fr. 57. Schol. Aeschyl. Prom. 128: *Ὁ ῥυθμὸς Ἀνακρεόντειός ἐστι κεκλασμένος πρὸς τὸ θρηνητικόν· ἐπεδήμησε γὰρ τῇ Ἀττικῇ Κριτίου ἐρῶν καὶ ἠρέσθη λίαν τοῖς μέλεσι τοῦ τραγικοῦ* (Welcker *μέλεσιν αὐτοῦ ὁ τραγικός*)· *ἐχρῶντο δὲ αὐτοῖς οὐκ ἐν παντὶ τόπῳ, ἀλλ' ἐν τοῖς θρηνητικοῖς, ὡς καὶ Σοφοκλῆς. ἔστι δὲ ταῦθ' ὅμοια τῷ· Οὐδ' αν ἐάσεις με κτλ.* Correxit Hermann et probabiliter Anacreonti tribuit versum, qui videtur ex carmine in Critiam petitus esse. Anacreontis carmina in Critiam resp. Plato Charm. 157 E.

Fr. 58. Athen. X 433 F: *Καὶ Ἀνακρέων· φίλη κτλ.* — *εἶ ξένοις* VL, A *εἰς ξείνεις*, P *εἰ ξείνεις*, B *δὲ ξείνεις*, Schneidewin *εἶς ξείνοις.*

Fr. 59. Apollon. Sophist. 87, 21: *Θέσθαι . . . καὶ γὰρ ὁ θησαυρὸς θεσμὸς λέγεται, καθάπερ καὶ Ἀνακρέων λέγει. ἀπὸ δ' κτλ.* — cod. *θυμὸς* et

60. [58.]

Ἐκδῦσα χιτῶνα δωριάζειν.

61. [59.]

Καί μ' ἐπίβωτον κατὰ γείτονας ποιήσεις.

62. [60.]

Παρὰ δηὖτε Πυθόμανδρον
κατέδυν Ἔρωτα φεύγων.

63. [61.]

Φέρ' ὕδωρ, φέρ' οἶνον, ὦ παῖ,
φέρε δ' ἀνθεμεῦντας ἡμίν
στεφάνους, ἔνεικον, ὡς δή
πρὸς Ἔρωτα πυκταλίζω.

64. [62.] 789

Ἄγε δή, φέρ' ἡμίν, ὦ παῖ,

θυμόν. Resp. Et. M. 448, 15 cf. Mingar. Codd. Nan. 495. — *Ἀπὸ δ' ἐξείλετο* Heckero suspectum, sed iniuria: quod vulgo dici solet *ἐξαφαιρεῖσθαι*, poeta inverso ordine protulit, quemadmodum est apud Eurip. Iph. Taur. 1278: *ἀπὸ δὲ λαθοσύναν νυκτωπὸν ἐξεῖλεν βροτῶν.*

Fr. 60. Schol. Eurip. Hec. 915: *καὶ δωριάζειν τὸ γυμνὰς φαίνεσθαι τὰς γυναῖκας· Ἀνακρέων· Ἐκδῦσα κτλ.* Cf. Eustath. Il. 975, 30: *Αἴλιος γοῦν Διονύσιος δωριάζειν, φησί, τὸ παραφαίνειν καὶ παραγυμνοῦν πολύ τι τοῦ σώματος. αἱ γὰρ κατὰ Πελοπόννησόν φησι κόραι διημέρευον ἄζωστοι καὶ ἀχίτωνες, ἱμάτιον μόνον ἐπὶ θάτερα ἐπιπεπορπημέναι, κτλ.*

Fr. 61. Ammon. 42 Valck. *Διαβόητος | καὶ ἐπιβόητος διαφέρει· διαβόητος μὲν γάρ ἐστιν ὁ ἐπ' ἀρετῇ ἐγνωσμένος· ἐπιβόητος δ' ὁ μοχθηρὰν ἔχων φήμην· Ἀνακρέων ἐν δευτέρῳ· Καί μ' κτλ.* vulgo *ἐπιβόητον* et sic Et. Gud. 142, 45 et 199, 3 (ubi praeterea *γείτονα*), sed Anacreontem dixisse *ἐπίβωτον* testatur Eust. 1856, 12.

Fr. 62. Hephaest. 70: *Τὸ δὲ* (*δίμετρον τὸ* addidit Melhorn) *ἀκατάληκτον κατὰ τὸν ἀνακλώμενον χαρακτῆρα πολὺ παρὰ τῷ Ἀνακρέοντί ἐστι· Παρὰ κτλ.* — V. 1. *δηὖτε* scripsi, vulgo *δ' ηὖτε*, A *δηῦτε*. — *Πυθόμανδρον* AFIE *γρ.*, *Πυθόμενδρον* CP in marg., *Πυθόμαν δὲ* Turn. EP. — V. 2. *κατέδυν Ἔρωτα* scripsi, legebatur *κατέδυν' ἔρωτα.*

Fr. 63. Athen. XI p. 782 A: *Ἀνακρέων· Φέρ' ὕδωρ κτλ.* — V. 1 affert Demetr. de elocut. c. 5. — V. 2. *ἡμίν*, vulgo *ἡμῖν*. — V. 3 extr. et v. 4 affert Eust. Il. 1322, 53: *Παράγωγον ῥῆμα τὸ πυκταλίζειν, οὗ χρῆσις παρὰ Ἀνακρέοντι, ὡς μὴ πρὸς τὸν Ἔ. π.* et Orion p. 62, 31: *Ἀνακρέων· ὡς δὴ πρὸς ἔρ. πυκ.* ubi recte *δὴ* scriptum, nam etiam Athen. *μή*, Dobree coni. *ἄν*. Resp. Et. M. 345, 39.

Fr. 64. Athen. X p. 427 A: *Παρὰ δὲ Ἀνακρέοντι εἷς οἴνου πρὸς δύο ὕδατος· Ἄγε κτλ. ... βασσαρήσω. Καὶ προελθὼν τὴν ἀκρατοποσίαν Σκυθικὴν καλεῖ πόσιν· Ἄγε δεῦτε κτλ.* Est haud dubie ex eodem carmine, cuius exordium est fr. 63. V. 1—5. *κυάθους* Athen. affert XI 475 C et Eust. Od. 1476, 31. — V. 1. *ἡμίν* Dindorf, vulgo *ἡμῖν*.

κελέβην, ὅκως ἄμυστιν
προπίω, τὰ μὲν δέκ' ἐγχέας
ὕδατος, τὰ πέντε δ' οἴνου
κυάθους, ὡς ἀνυβριστί
ἀνὰ δηὖτε βασσαρήσω.

* * *

Ἄγε δηὖτε μηκέθ' οὕτω
πατάγῳ τε κἀλαλητῷ
Σκυθικὴν πόσιν παρ' οἴνῳ
μελετῶμεν, ἀλλὰ καλοῖς
ὑποπίνοντες ἐν ὕμνοις.

65. [63.]

Χθόνιον δ' ἐμαυτὸν ἦρεν.

66. [65.]

Ἀλλὰ πρόπινε
ῥαδινούς, ὦ φίλε, μηρούς.

---

67. [66.]

Ἀδυμελές, χαρίεσσα χελιδοῖ.

V. 2. ὅκως, Ath. altero l. ὅπως. — V. 3. δέκ' poster. loco, priore δ' vel δύ'. — ἐγχέας, priore l. APV ἐκχέας. — V. 5. ἀνυβριστὶ Baxter, A ἂν ὑβριστίως, PVL ἂν ὑβριστιῶσαν. — V. 6. ἀνὰ δηὖτε scripsi, AB ἀναδευτε, PVL ἀναδευ. — V. 7—10 usque ad μελετῶμεν affert Commentator Cruq. Horat. Carm. I 27, 1: „*Ad convivas sodales suos de hilaritate. Sensus autem sumptus ex Anacreonte libro tertio*: Ἄγε δῶτε κτλ.“ quae ipse Cruquius addidit descripta ex editione Lambini, unde etiam illud δῶτε repetiit. Porphyrio, qui quidem haud dubie hunc ipsum locum respexit, nihil nisi haec adscripsit: „Ode προτρεπτικὴ est haec ad hilaritatem, cuius sensus sumtus est ab Anacreonte *in libro tertio*.“ — V. 8. δηὖτε scripsi, A δηυτε, B δήντε, P δήτε, VL δότε.

Fr. 65. Schol. Hesiod. Theog. 767: Τὸ δὲ χθονίου ἢ τοῦ (l. ἤτοι) στυγεροῦ, ὡς Ἀνακρέων· χθ. δ' ἐμ. ἦρεν. — cod. S ἥγον, in proecdosi scripsi ἦρον, sed gravius vitium latet, fort. χθόνιον δὲ μὰψ ὄνειρον, Hartung χθόνιον δ' εἶδον ὄνειρον.

Fr. 66. Schol. Pind. Ol. VII 5: Προπίνειν ἐστὶ κυρίως τὸ ἅμα τῷ κράματι τὸ ἀγγεῖον χαρίζεσθαι. Ἀνακρέων· Ἀλλὰ κτλ. ἀντὶ τοῦ χαρίζου.

Fr. 67. Hephaest. 39: Ὕστερον δὲ καὶ Ἀνακρέων τούτῳ τῷ μέτρῳ καὶ ὅλα (ita Turn. E, ἄλλα CPA) ᾄσματα συνέθηκεν. Ἀδυμελὲς (A ἀδύμελες) κτλ. Eadem Plotius 264 ed. Gaisf.

68. [67.] 790

Μνᾶται δηὖτε φαλακρὸς Ἄλεξις.

69. [73.]

Καλλίκομοι κοῦραι Διὸς ὠρχήσαντ' ἐλαφρῶς.

70. [74.]

Ὀρσόλοπος μὲν Ἄρης φιλέει μεναίχμαν.

71. [75.]

Οὔτε γὰρ ἡμετέρειον οὔτε καλόν.

72. [76.]

Νῦν δ' ἀπὸ μὲν στέφανος πόλεως ὄλωλεν.

* 72 B.

Ἀστερίς, οὔτε σ' ἐγὼ φιλέω οὔτ' Ἀπελλῆς.

73. [77.]

Βούλεται ἀπεροπεὺς ἐφ' ἡμὶν εἶναι.

Fr. 68. Hephaest. 39: *ὕστερον δὲ καὶ Ἀνακρέων τούτῳ τῷ μέτρῳ ὅλα ᾄσματα συνέθηκεν . . . καὶ Μνᾶται κτλ.* — *δηὖτε* scripsi, vulgo *δηὖτε*, Turn. *δεῦτε*, Fl *δ' ἠῦται.*

Fr. 69. Athen. I 21 A: *Ἔλαττον γὰρ τὸ ὀρχεῖσθαι ἐπὶ τοῦ κινεῖσθαι καὶ ἐρεθίζεσθαι. Ἀνακρέων· Καλλίκομοι κτλ.* Eadem Eust. 1842, 4.

Fr. 70. Hephaest. 90: *Κέχρηται δὲ (τῷ ἐγκωμιολογικῷ) καὶ Ἀνακρέων ἐν πλείοσιν ᾄσμασιν. Ὀρσόλοπος κτλ.* — *Ὀρσόλοπος* CP et Etym. cod. Dorvill., sed FlSH *ὀρσόλεπος*, E *ὄρσ' ὁ λέπος*, B *ὀρσόλεπτος*, Turn. *ὀρσ' ὀλέπος.* — *φιλέει, φιλέειν* FlHBS. — *μεναίχμαν*, Pauwius *μεναιχμήν*, codd. et. edd. *μὲν αἰχμάν.*

Fr. 71. Etym. M. 429, 50: *Ἡμετέρειος κτητικόν ἐστι· σημαίνει δὲ τὸν τοῦ ἡμετέρου· ἐχρῆτο δὲ τῇ λέξει Ἀνακρέων· Οὔτε κτλ.* Eadem Zonar. 990, cf. etiam Mingar. Codd. Nan. 495.

Fr. 72. Schol. Pind. Ol. VIII 42: *Στέφανοι γὰρ ὥσπερ τῶν πόλεων τὰ τείχη· καὶ Ἀνακρέων· νῦν δ' κτλ.* — *στέφανος πόλεως* scripsi, legebatur *πόλεως στέφανος.* Ceterum Schneidewin *πόλιος* requirit.

Fr. 72 B. Schol. Heph. p. 163 ed. 2 Gaisf.: *ὁ δ' Ἡλιόδωρος φησὶν ἐν τῇ εἰσαγωγῇ, ὅτι καὶ τρεῖς εἰς μίαν συνεκφωνοῦνται συλλαβαί, ὡς τὸ διπενθημιμερὲς τοῦτο, οἱονεὶ τὸ δοκοῦν εἶναι ἐλεγεῖον· Ἀστερὶς οὔτε σ' ἐγὼ φιλέω, οὔτ' ἀπελλής. οὐ γάρ ἐστιν ἐλεγεῖον, ἀλλὰ τὸ πρῶτον αὐτοῦ μέρος ἐστὶ δακτυλικόν, τὸ δὲ δεύτερον ἰαμβικόν· δύο γὰρ ἰάμβους ἔχει καὶ συλλαβήν· τὸ οὖν φιλέω οὐ, ἀπὸ δύο βραχέων (βραχειῶν) καὶ μιᾶς μακρᾶς.* Cum Hephaestio p. 70 auctor sit, praeter Alcaeum Anacreontem in compluribus carminibus hoc metro usum esse, huic peotae versum tribui.

Fr. 73. Etym. M. 433, 44: *ἠπεροπευτής. . . . ἢ μετὰ τοῦ ᾱ τοῦ σημαίνοντος τὸ κακὸν καὶ τοῦ περ περιττοῦ συνδέσμου· Ἀπεροπεὺς ὁ τῷ λόγῳ κακῶς χρώμενος καὶ ἀπατῶν· . . . παρὰ Ἀνακρέοντι· Βού-*

74. [78.]

. . . . . . Ἐγὼ δὲ μισέω
πάντας, ὅσοι χθονίους ἔχουσι ῥυσμοὺς
καὶ χαλεπούς· μεμάθηκά σ', ὦ Μεγίστη, 791
τῶν ἀβακιζομένων.

75. [79.]

Πῶλε Θρηκίη, τί δή με λοξὸν ὄμμασιν βλέπουσα
νηλεῶς φεύγεις, δοκέεις δέ μ' οὐδὲν εἰδέναι σοφόν;

ἴσθι τοι, καλῶς μὲν ἄν τοι τὸν χαλινὸν ἐμβάλοιμι,
ἡνίας δ' ἔχων στρέφοιμί σ' ἀμφὶ τέρματα δρόμου.

νῦν δὲ λειμῶνάς τε βόσκεαι κοῦφά τε σκιρτῶσα παίζεις·
δεξιὸν γὰρ ἱπποσείρην οὐκ ἔχεις ἐπεμβάτην.

76. [80.]

Κλῦθί μευ γέροντος εὐέθειρε χρυσόπεπλε κούρα.

λεται ἀπεροπὸς ἡμῖν εἶναι. quae correxi, nisi fort. praeterea ἠπεροπεὺς leg.

Fr. 74. Etym. M. 2, 45: *Παρὰ τὸ ἀβακὴς οὖν γίνεται ἀβακῶ, ὥσπερ εὐσεβὴς εὐσεβῶ. γίνεται δὲ καὶ ἀβακίζω· φησὶν Ἀνακρέων· Ἐγὼ κτλ. ἀντὶ τοῦ τῶν ἡσυχίων καὶ μὴ θορυβωδῶν.* Eadem Philemo 135 et Cram. An. Par. IV 84, 28. — V. 1. ἐγὼ, Cram. ἔγω. — δὲ om. cod. Va. — V. 2. ὅσοι scripsi, vulgo οἵ, et ῥυσμούς, vulgo ῥυθμούς, Cram. ῥυμούς. — χθονίους, Iacobs σκολιούς, Hartung χνοΐους novavit. — V. 3. χαλεπούς· μεμάθηκά σ', ὦ Μεγίστη scripsi (in proecdosi μεμέθεικα δ' ὦ Μεγίστη, et Μεγίστη etiam Hemsterhuys), vulgo χαλεποὺς μεμαθήκασιν (μεμαθηε D), ὡς μεγίστη.

Fr. 75. Heraclid. Pont. Alleg. Hom. c. 4: *Καὶ μὴν ὁ Τήϊος Ἀνακρέων ἑταιρικὸν φρόνημα καὶ σοβαρᾶς γυναικὸς ὑπερηφανίαν ὀνειδίζων, τὸν ἐν αὐτῇ σκιρτῶντα νοῦν ὡς ἵππον ἠλληγόρησεν, οὕτω λέγων· Πῶλε κτλ.* — V. 1. Θρηκίη Barnes, vulgo Θρηϊκίη. — V. 2. μ' οὐδὲν codd., ut videtur omnes, olim legebatur μηδέν. — V. 4. στρέφοιμί σ' scripsi, vulgo στρέφοιμι, AB στρέφοιμ', nisi malis στρέφοιμ' ἄν, Mehler στρέφοιμ' ἄν σ'. — V. 5. σκιρτῶσα, A σκιρτοῖσα. — V. 6. ἱπποσείρην scripsi, vulgo ἱπποπείρην. — οὐκ ἔχεις, AB οὐχ ἕξεις, Hartung δεξιὸν πρὸς ἱπποσείρην οὐκ ἔχουσ' ἐπ.

Fr. 76. Hephaest. 36: *Καὶ τῶν ἀκαταλήκτων δὲ τὸ τετράμετρον ἔνδοξόν ἐστιν, οἷον τουτὶ τοῦ Ἀνακρέοντος· Κλῦθί κτλ.* — εὐέθειρε restitui ex Schol. Heph. 175, qui bis hunc versum affert, vulgo εὐέθειρα, cod. Nan. (Mingar. 489) εὐήθειρα. — κούρα, nisi forte κοῦρα scribendum, ut est ap. Theocritum (vel potius Moschum) XXVII 55 θάρσει κοῦρα φίλα.

77. [81.]

Εὖτέ μοι λευκαὶ μελαίναις ἀναμεμίξονται τρίχες.

78. [82.]

(*Ἐν*) *μελαμφύλλῳ δάφνᾳ χλωρᾷ τ' ἐλαίᾳ ταντελίζει.*

79. [83.] 792

Κοίμισον δ', ὦ Ζεῦ, σόλοικον φθόγγον.

80. [98.]

Διὰ δέρην ἔκοψε μέσσην, καδ δὲ λῶπος ἐσχίσθη.

81.

Αἵ δέ μευ φρένες
ἐκκεκωφέαται.

---

82. [94.]

Ἐγὼ δ' ἔχων σκύπφον Ἐρξίωνι
τῷ Λευκολόφου μεστὸν ἐξέπινον.

Fr. 77. Iulian. Misopog. 366 B: *Πλησίον ἐσμέν, ἐθελόντων θεῶν, εὖτέ μοι κτλ. ὁ Τήϊος ἔφη ποιητής.* — *μοι*, scrib. videtur *σοί*. — *μελαίναις*, Schneidewin *μελαίνῃς*.

Fr. 78. Schol. Soph. Antig. 138: *Ὅτι δὲ ταντελωθεὶς σημαίνει τὸ διασεισθείς· μαρτυρεῖ καὶ Ἀνακρέων· μελαμφύλλῳ κτλ.* Addidi *ἐν*. Fort. *ταντελίζῃ* (*ταντελίζεαι*), ut Amorem poeta alloquatur.

Fr. 79. Herodian. de barbar. 193 post Ammon. Valcken: *Σολοίκους δὲ ἔλεγον οἱ παλαιοὶ τοὺς βαρβάρους· ὁ γὰρ Ἀνακρέων φησί· Κοίμισον* (sic B, *κοίμησον* A, *κόμισον* C) *δὲ σόλοικον φθόγγον*. Sed codd. ap. Villois. Anecd. II 77 *μισῶ Ζεῦ* vel *κόμισον Ζεῦ σόλ. λόγον*. itaque emendavi. Resp. huc Eust. Il. 368, 2.

Fr. 80. Schol. Il. ρ 542: *Κατὰ ταῦρον ἐδηδώς. ἡ διακοπὴ τῆς λέξεως τὸν εἰς πολλὰ διεσπασμένον παρέστησε ταῦρον, οὐ τοῦ μέτρου ἀπαιτοῦντος· παρῆν γὰρ φάναι ταῦρον κατεδηδώς· Καὶ Ἀνακρέων· Διὰ δέρην κόψε μέσην κὰδ κτλ.* quae correxi. Cf. Eust. Il. 1001, 39: *Ἀνακρέοντος τὸ καδ δὲ λοπὸς ἐσχίσθη· ὁμοίως καὶ τὸ διὰ δὲ δέρην ἔκοψε μέσην.* et Cram. An. Paris III 287, 28. Hermann hoc Eustathii loco usus duo diversa fragmenta esse credit, quod non debebat Haupt probare. Idem olim proposuit Schneidewin, quem iam in diariis Antiquitatis 1836 redargui.

Fr. 81. Cram. An. Ox. I 288, 3: *καὶ Ἀνακρέων· Αἵ δέ μευ κτλ.* Et. M. 322, 22 omisso nom. poetae: *Αἵ δ' ἐμαὶ φρ. ἐκ.*

Fr. 82. Athen. XI p. 498 C: *Ἡσίοδος δ' ἐν τῷ δευτέρῳ Μελαμποδίας σὺν τῷ π σκύπφον λέγει· . . . ὁμοίως εἴρηκε καὶ Ἀνακρέων. Ἐγὼ κτλ. ἀντὶ τοῦ προέπινον.* Cf. Eust. Il. 900, 16. — V. 1 conieci *κἀγὼ δέ γ' ἔχων.* — V. 2. *τῷ Λευκολόφου* scripsi, vulgo *τῷ λευκολόφῳ*.

83. [95.]

Στεφάνους δ' ἀνὴρ τρεῖς ἕκαστος εἶχεν,
τοὺς μὲν ῥοδίνους, τὸν δὲ Ναυκρατίτην.

* 84. [85.] 793

Ἔστε ξένοισι μειλίχοις ἐοικότες,
στέγης τε μοῦνον καὶ πυρὸς κεχρημένοις.

85. [86.]

Πάλαι ποτ' ἦσαν ἄλκιμοι Μιλήσιοι.

86. [84.]

Καὶ θάλαμος, ἐν τῷ κεῖνος οὐκ ἔγημευ, ἀλλ' ἐγήματο.

Fr. 83. Athen. XV 671 E: *Τίς ἐστιν ὁ παρὰ τῷ χαρίεντι Ἀνακρέοντι Ναυκρατίτης στέφανος, ὦ Οὐλπιανέ; φησὶ γὰρ οὕτως ὁ μελιχρὸς ποιητής· Στεφάνους ὁ δ' ἀνὴρ κτλ.* — V. 1. *στεφάνους δ' ἀνήρ* VL, *στεφάνους ὁ δ' ἀνὴρ* B, sed A *στεφάνου· ὁ δ' ἀνήρ*, Hartung *στεφάνους δ' ἄρ' ἀνήρ.* Cf. Poll. VI 107: *Ἀνακρέων δὲ καὶ μύρτοις στεφανοῦσθαί φησι . . . καὶ Ναυκρατίτῃ στεφάνῳ, σάμψυχος οὗτος ἦν . . . ὁ δὲ Ἀνακρέων καὶ ῥόδινον στέφανον ὠνόμασεν.*

Fr. 84. Plut. adv. Stoic. c. 20: *Διψῶντες οὖν ὕδατος οὐκ ἔχουσι χρείαν οὐδὲ ἄρτου πεινῶντες· Ἔσται ξ. κτλ. οὗτος οὐκ εἶχε χρείαν ὑποδοχῆς.* Anacreontis esse indicat Hephaest. 29: *Δίμετρα, οἷα τὰ Ἀνακρεόντεια ὅλα ᾄσματα γέγραπται, οἷον ... τρίμετρα δέ, ὡς τό· ἔστε ξένοισι μειλίχοις* (FlBH *ξένοι εἰ λίχοις*) *ἐοικότες.* — V. 1. *ἔστε* Heph. vulgo, sed FlBCHPESA *ἔσται*, ut Plut. (Wyttenb. om.). — V. 2. *τε* adi. Gaisford — *κεχρημένοις*, Dübner *κεχρημένῳ*, recte ut videtur. Ad Phormionem et Dioscuros refert Gaisford, de qua fabula vid. Meineke Poet. Com. II 2. 1227.

Fr. 85. Zenob. V 80: *Πάλαι ποτ' ἦσαν ἄ. Μ. Φασὶ τοὺς Κᾶρας πολεμουμένους ὑπὸ Δαρείου τοῦ Πέρσου κατά τινα παλαιὰν μαντείαν εἰρημένην αὐτοῖς τοὺς ἀλκιμωτάτους προσθέσθαι συμμάχους ἐλθεῖν εἰς Βραγχίδας καὶ τὸν ἐκεῖ θεὸν ἐρωτῆσαι, εἰ Μιλησίους πρόσθοιντο συμμάχους· τὸν δὲ ἀποκρίνασθαι· Πάλαι ποτ' ησαν ἄ. Μ. οὗτος δὲ ὁ στίχος εἴρηται τὸ πρότερον παρὰ Ἀνακρέοντι.* ubi vid. interprett. Cf. inprimis Sch. Ar. Plut. 1002. *Ἰσχυροί ποτ' ἦσαν οἱ Μ., ὡς καὶ Ἀνακρέων.* ibique versus non sine varietate affertur, primum *ἦσαν ποτ' ἦσαν ἄ. Μ.* (sic etiam Philostr. vit. Soph. I 22), tum *πάλαι ποτ' ἦσαν ἄ. Μ.* atque hanc scripturam non solum Diodor. Exc. Vatic. c. 47 et Synesius p. 228 C exhibent, sed etiam Athenaeus XII 523 F Aristotele auctore usus: *ὡς δ' ὑπήχθησαν ἡδονῇ καὶ τρυφῇ, κατερρύη τὸ τῆς πόλεως ἀνδρεῖον, φησὶν Ἀριστοτέλης, καὶ παροιμία τις ἐγενήθη ἐπ' αὐτῶν· πάλαι π. ἦ. ἄ. Μ.* quae haud dubie ex libro de Milesiorum republica descripta sunt, ut qui huius operis reliquias collegerunt, existimant; nam liber *περὶ παροιμιῶν* videtur pseudepigraphus fuisse, ex aliis Aristotelis libris concinnatus. Anacreontis si revera est hic versus, *ποκ'* scribendum. Quae de oraculi dictione feruntur, commenticia censet G. Wolff Porphyr. p. 74 seq.

Fr. 86. Ammon. p. 37 ed. Valck.: *Ἀνακρέων διασύρων τινὰ ἐπὶ θηλύτητι· Καὶ κτλ.* Eadem Herodian. in Boisson. An. III 263. Bachmann An. II 375. Cod. Vindob. n. 205. Etym. Gud. 125, 4 (corruptissime) et Eust. 1678, 59. — *θάλαμος*, *θάλαμον* Eust., *θαλάμοις* Ammon. — *τῷ* scripsi, vulgo *ᾧ*.

87. [87.]

Κνίζη τις ἤδη καὶ πέπειρα γίνομαι
σὴν διὰ μαργοσύνην.

88. [88.]

Κοὐ μοχλὸν ἐν θύρῃσι διξῇσιν βαλὼν
ἥσυχος καθεύδει.

89. [89.] 794

Ἐρῶ τε δηὖτε κοὐκ ἐρῶ
καὶ μαίνομαι κοὐ μαίνομαι.

90. [90.]

Μηδ' ὥστε κῦμα πόντιον
λάλαζε, τῇ πολυκρότῃ
σὺν Γαστροδώρῃ καταχύδην
πίνουσα τὴν ἐπίστιον.

91. [91.]

Διὰ δηὖτε Καρικευργέος

Fr. 87. Etym. M. 523, 4: *τὸ δὲ κνύζα, ὡς λέγει Ἡρωδιανός, εἰ μὲν ἐπὶ τοῦ φυτοῦ, συγκοπή ἐστι . . . εἰ δὲ ἐπὶ τοῦ παρεφθαρμένου καὶ ἐρρυπωμένου, οὐ συγκοπή ἐστιν, ἀλλ' ἀπὸ τοῦ κνύω· ἀφ' οὗ κνύος ἡ φθορά· γίνεται κνύζα, ὡς παρὰ Ἀνακρέοντι ἐν ἰάμβῳ· Κνύζη* (sic DV, vulgo *κνίζη*, Lobeck *κνιζὴ*) *τ. ἤ. κ. πέπειρα γενομένη* (D *γεγνομή*) *σ. δ. μ.* Eust. Od. 1746, 13: *Ἡ κνίζα, ὡς σχίζω σχίζα, Ἀνακρέων· Κνίζη τ. ἤ. κ. π. γίνομαι σ. δ. μ.* De forma *πέπειρα* vid. Herodian. *περὶ διχρόν*. 358.

Fr. 88. Zonar. 1512: *Τὸν δὲ μοχλὸν ἐν τῷ χ καὶ Ἀττικοὶ καὶ Δωριεῖς καὶ Ἴωνες, πλὴν Ἀνακρέοντος· οὗτος δὲ μόνος σχεδὸν τῷ κ, Ζηνόδοτος δὲ (μοχλόν)· Καὶ οὐ μοκλὸν ἐν οὔρῃσι δίζῃσι β. ἤ. κ.* quae correxi.

Fr. 89. Hephaest. 29: *Ἔστι δὲ ἐπίσημα ἐν αὐτῷ ἀκατάληκτα μὲν δίμετρα, οἷα τὰ Ἀνακρεόντεια ὅλα ᾄσματα γέγραπται, οἷον· ἐρῶ τε κτλ.* cf. Schol. Heph. 167. Apostol. VII 88 b. — V. 1 scripsi *δηὖτε*, v. *δῆτα*, CPE *δ' ηὖτε*, A *δηῦτε*. — V. 2 affert Schol. Arist. Plut. 253. Ceterum Schneidewin bis *ἐρέω*.

Fr. 90. Athen. X 446 F: *Ἡ παρ' Ἀνακρέοντι καλουμένη ἐπίστιος· φησὶ γὰρ ὁ μελοποιός· Μηδ' κτλ. Τοῦτο δ' ἡμεῖς ἀνίσωμα φαμέν.* — V. 2. *πολυκρότῃ* L, *πολυκρώτῃ* PV.

Fr. 91. Strabo XIV 661: *Τοῦ δὲ περὶ τὰ στρατιωτικὰ ζήλου τά τε ὄχανα ποιοῦνται τεκμήρια καὶ τὰ ἐπίσημα καὶ τοὺς λόφους· Ἀνακρέων μέν γε φησίν· Δία δεῦτε Καρικοεργέος* (ita E, *καρικὰ ὁ ἔργεος* CF, *καρικὰ ὀεγέος* Dhi, *Καρικὰ εὐεργέος* w, *καρικοῦ εὐεργέος* ux, *Καρικὸν εὐεργέος* moz) *ὀχάνου χεῖρα τιθέμεναι* (*τιθέμενοι* DEi, *τιθέναι* F). — V. 1. *διὰ δηὖτε* scripsi, deinde *Καρικευργέος ὀχάνοιο* et Eustath. 367, 25: *Καρικοεργέος ὀχάνου*. 707, 61: *Καριοεργέος ὀχάνοιο*. Cf. Et. Gud. 297, 43:

ὀχάνοιο χεῖρα τιθέμεναι.

* 92. [92.]

Ὁ μὲν θέλων μάχεσθαι,
πάρεστι γάρ, μαχέσθω.

93. [93.]

Ὦ 'ραννὲ δὴ λίην,
πολλοῖσι γὰρ μέλεις.

ΕΛΕΓΕΙΑ. 795

94. [69.]

Οὐ φιλέω, ὃς κρητῆρι παρὰ πλέῳ οἰνοποτάζων
νείκεα καὶ πόλεμον δακρυόεντα λέγει,
ἀλλ' ὅστις Μουσέων τε καὶ ἀγλαὰ δῶρ' Ἀφροδίτης
συμμίσγων ἐρατῆς μνήσκεται εὐφροσύνης.

95. [68.]

Οὐδέ τί τοι πρὸς θυμόν, ὅμως γε μὲν ὡς ἀδοιάστως.

96. [71.]

Οὐκέτι Θρηϊκίης (πώλου) ἐπιστρέφομαι.

καριοεργεος ὀχώνοιο. Schol. Il. ϑ 193 ubi *καριεργέος* et *καριοεργέος*. Et. M. 489, 39. — V. 2. *τιθέμεναι*, Goettling *τιθέμενοι* praefert.

Fr. 92. Hephaest. 30: *Καταληκτικὰ δέ, δίμετρα μέν, ὡς τὸ καλούμενον Ἀνακρεόντειον, οἷον· ὁ μὲν θέλων κτλ.* Eadem Plotius 270. Schol. Arist. Plut. 302 (*ὡς ἐκεῖνα τοῦ Ἀνακρέοντος*) et v. 1. Schol Hephaest. p. 167. Si quidem est Anacreontis fragmentum. Usus est his auctor carm. Pseudoanacr. 45, v. 8 et 9.

Fr. 93. Prisc. de metr. Terent. 249 Lind.: „Anacreon teste Heliodoro: *ὁρᾶν, ἀεὶ μὴν* (*ΛΙΕΝ* A, *ΑΙ. ΗΝ* R) *πολλοῖσι γὰρ μέλεις.* Hic iambus merum spondeum habet." Correxi, quamquam possunt etiam alia coniici, velut *Ὡραῖε δ' εἶ λίην*, Hartung *ἐρᾶν ἀεὶ παρῆν.*

Fr. 94. Athen. XI 463 A: *Καὶ ὁ χαρίεις δ' Ἀνακρέων φησίν· Οὐ φ. κτλ.* — V. 1. *οὐ φιλέω ὃς* C, *οὐ φίλεος* AB, *οὐ φίλος ὃς* PVL. — *κρητῆρι* ABC, *κρατῆρι* PVL. — V. 4. *μνήσκεται*, Fr. Franke *μνήσεται* coniecit, ego *μήσεται.*

Fr. 95. Hephaest. 11: *Καὶ παρὰ Ἀνακρέοντι ἐν ἐλεγείαις· οὐδὲ κτλ.* — *τοι*, in proecdosi *σοὶ* scripsi. — *ἀδοιάστως*, FlB *ἀδιάστως*. Fort. *ὅμως γε μένεις*, Hartung *οὐδέ τί οἱ . . . ὅμως ἔμεν' ὡς ἀδ.*

Fr. 96. Longin. de Sublim. c. 31: *Ποιητικώτατον καὶ γόνιμον τόδ' Ἀνακρέοντος· Οὐκέτι Θρηϊκίης ἐπιστρ.* Addidi *πώλου*, in proecdosi *παιδός.*

97. [72.]

Οἰνοπότης δὲ πεποίημαι.

98.

* * *Δεῖ φροντίδα μὴ κατέχειν.*

99. [70.]

Ἀγχοῦ δ' Αἰγείδεω Θησέος ἐστὶ λύρη.

ΕΠΙΓΡΑΜΜΑΤΑ. 796

100. [Ep. 15.]

Ἀβδήρων προθανόντα τὸν αἰνοβίην Ἀγάθωνα
πᾶσ' ἐπὶ πυρκαϊῆς ἥδ' ἐβόησε πόλις·
οὔτινα γὰρ τοιόνδε νέων ὁ φιλαίματος Ἄρης
ἠνάρισεν στυγερῆς ἐν στροφάλιγγι μάχης.

101. [Ep. 14.]

Καρτερὸς ἐν πολέμοις Τιμόκριτος, οὗ τόδε σᾶμα·
Ἄρης δ' οὐκ ἀγαθῶν φείδεται, ἀλλὰ κακῶν.

102. [Ep. 2.]

Οὗτος Φειδόλα ἵππος ἀπ' εὐρυχόροιο Κορίνθου

Fr. 97. Athen. XI 460 D: *Ὁ δὲ Ἀνακρέων ἔφη· Οἰν κτλ.* Resp. Pollux VI 21: *Καὶ οἰνοπότης καὶ οἰνοπότις γυνή, ὡς Ἀνακρέων.* nam utrumque ex Anacreonte petitum arbitror.

Fr. 98. Macedonius in Anth. Pal. X 70: *Τὴν γὰρ Ἀνακρείοντος ἐνὶ πραπίδεσσι φυλάσσω Παρφασίην, ὅτι Δεῖ φροντίδα μὴ κατέχειν.*

Fr. 99. Hygin. Astron. II 6: *Hac etiam de causa nonnulli Lyram, quae proxima ei signo* (Engonasin) *est collocata, Thesei esse dixerunt, quod ut eruditus omni genere artium lyram quoque didicisse videbatur. Idque et Anacreon dicit· Ἀγχοῦ κτλ.* — *δ' Αἰγείδεω* scripsi et sic cod. Guelf., vulgo *δαὶ τοῦ*. Olim conieci *ἀγχοῦ δ' αἰητοῦ*, quod Vater in Iahnii Archiv XVII 208 probavit. Ceterum Meineke hunc versum censet Anacreontis iunioris esse, qui Astronomica scripsit, vid. Anal. Alex. 240.

Epigr. 100. Anth. Pal. VII 226 a m. sec. *Ἀνακρέοντος Τηΐου*, a m. pr. *εἰς Ἀγάθωνα στρατιώτην ἐν Ἀβδήροις*. V. 1 et 2 Suidas v. *Αἰνοβίαν*, v. 3 et 4 v. *Ἠνάρισεν* affert. — V. 2. *ἥδ' ἐβόησε*, Hecker *ἥδ' ἐπέβησε*.

Epigr. 101. Anth. Pal. VII 160 a m. pr. *εἰς Τιμόκριτον ἀριστεύσαντα*, a m. sec. *Ἀνακρέοντος.* — V. 1. *σᾶμα* P, quod non mutandum, nam nescimus, cui urbi destinatum fuerit epigramma.

Epigr. 102. Anth. Pal. VI 135 a m. pr. *ἀνάθημα τῷ Διῒ παρὰ Φειδόλα*, deinde in marg. a. m. pr. *τοῦ αὐτοῦ* (*Ἀνακρέοντος*, Holder suspi-

ἄγκειται Κρονίδᾳ, μνᾶμα ποδῶν ἀρετᾶς.

103 [Ep. 9.]

Σάν τε χάριν, Διόνυσε, καὶ ἀγλαὸν ἄστεϊ κόσμον
Θεσσαλίας μ' ἀνέθηκ' ἀρχὸς Ἐχεκρατίδας.

104. [Ep. 5.]

Πρὶν μὲν Καλλιτέλης μ' ἱδρύσατο· τόνδε δ' ἐκείνου
ἔκγονοι ἔστασαν, τοῖς χάριν ἀντιδίδου.

105. [Ep. 6.]

Πραξαγόρας τάδε δῶρα θεοῖς ἀνέθηκε, Λυκαίου
υἱός· ἐποίησεν δ' ἔργον Ἀναξαγόρας.

106. [Ep. 7.] 797

Παιδὶ φιλοστεφάνῳ Σεμέλας ἀνέθηκε Μέλανθος,
μνᾶμα χοροῦ νίκας υἱὸς Ἀρηϊφίλου.

107. [Ep. 8.]

Ῥυσαμένα Πύθωνα δυσαχέος ἐκ πολέμοιο
ἀσπὶς Ἀθηναίης ἐν τεμένει κρέμαται.

108. [Ep. 1.]

Ἡ τὸν θύρσον ἔχουσ' Ἑλικωνιάς, ἥ τε παρ' αὐτήν

catur Ἀρχιλόχου, cuius epigramma legitur VI 133, sed hanc difficilem quaestionem, quae est de lemmatis codicis Palatini a diversis manibus adiectis ipse Holder, ut spero, pertractabit), tum a s. m. iterum ἀνάθημα τᾷ Διὶ παρὰ Φειδόλα (fuit Φειδώλα). — V. 2. ἀρετᾶς, cod. P ἀρετάς.

Epigr. 103. Anth. Pal. VI 142 a m. pr. Ἀνάθημα τῷ Διονύσῳ· τοῦ αὐτοῦ (Ἀνακρέοντος). — V. 1. Διόνυσε, cod. P Διόνυσε δίδου sed postea adpunctum.

Epigr. 104. Anth. Pal. VI 138 a m. pr. τοῦ αὐτοῦ (Ἀνακρέοντος), a m. sec. ὁμοίως (i. e. ut epigr. 110 ἀνάθημα τῷ Ἀπόλλωνι). — V. 1. πρίν, inscite Benndorf τὶν coniecit. — τόνδε Iacobs, cod. τὸν δέ. — V. 2. ἔστασαν, τοῖς Hecker, legebatur ἑστάσανθ', οἷς.

Epigr. 105. Anth. Pal. VI 139: ἀνάθημα παρὰ Πραξαγόρα (cod. πραξόρα) τοῦ αὐτοῦ (Ἀνακρέοντος).

Epigr. 106. Anth. Pal. VI 140: ἀνάθημα παρὰ Μελάνθου τῇ Σεμέλῃ τοῦ αὐτοῦ (Ἀνακρέοντος). — V. 1. φιλοστεφάνῳ Barnes, vulgo φιλοστεφάνου. — ἀνέθηκε, probabiliter Hecker μ' ἀνέθηκε, sed cur Μελάντας restituatur, quod idem requirit, nulla est causa.

Epigr. 107. Anth. Pal. VI 141: ἀνάθημα τῇ Ἀθηνᾷ τοῦ αὐτοῦ (Ἀνακρέοντος). Affert epigramma s. poetae n. Suidas v. δυσηχής, ubi ῥυσαμένη et δυσηχέος legitur, sed cod. P ῥυσαμένα et δυσαχέος. — V. 2. κρέμαται, malim κρέμαμαι. cf. Mnasalcae epigr. Anth. VI 264, 2.

Epigr. 108. Anth. Pal. VI 134: Ἀνάθημα Ἀνακρέοντος et rursus in marg. ad v. 3 ἀνακρέοντος a m. sec. Hecker, qui tabulae pictae hoc epigramma additum esse suspicatur, cur falso inter ἀναθηματικὰ relatum esse contendat, non perspicio. — V. 1. Ἑλικωνιάς, cod. P ἑλικω-

Ξανθίππη, Γλαύκη τ' ἐνσχερῷ ἐρχομένη,
ἐξ ὄρεος χωρεῦσι, Διωνύσῳ δὲ φέρουσιν
κισσὸν καὶ σταφυλὴν πίονα καὶ χίμαρον.

109. [Ep. 3.]

Πρηξιδίκη μὲν ἔρεξεν, ἐβούλευσεν δὲ Δύσηρις
εἷμα τόδε· ξυνὴ δ' ἀμφοτέρων σοφίη.

110. [Ep. 4.]

Πρόφρων, Ἀργυρότοξε, δίδου χάριν Αἰσχύλου υἱῷ
Ναυκράτει, εὐχωλὰς τάσδ' ὑποδεξάμενος.

111. [Ep. 10.]

Εὔχεο Τιμώνακτι θεῶν κήρυκα γενέσθαι
ἤπιον, ὅς μ' ἐρατοῖς ἀγλαΐην προθύροις
Ἑρμῇ τε κρείοντι καθέσσατο· τὸν δ' ἐθέλοντα
ἀστῶν καὶ ξείνων γυμνασίῳ δέχομαι.

112. [Ep. 13.] 798

Τέλλιδι ἱμερόεντα βίον πόρε, Μαιάδος υἱέ,
ἀντ' ἐρατῶν δώρων τῶνδε χάριν θέμενος·

νιάς. — *ἥ τε* cod. P, *ἡ δὲ* Plan., Iacobs scripsit *αἵ τε . . . ἐρχόμεναι.* ac sane P corr. *ἐρχόμεναι,* a pr. m. *ἐρχομέναι.* — V. 2. *ἐνσχερῷ* scripsi, cod. P *εἰς χορὸν,* Plan. *Γλαύκη ἡ σχεδὸν.* — V. 4 Hecker verba traiicienda censet *καὶ χίμαρον πίονα καὶ σταφυλήν.*

Epigr. 109. Anth. Pal. VI 136: *ἀνάθημα τοῦ αὐτοῦ (Ἀνακρέοντος).* Affert Suidas v. *εἷμα,* ubi *Πραξιδίκη* legitur et v. 2 *ἀμφοτέρως,* sed A *ξυνὰ δ' ἀμφοτέρων.* Ceterum videtur *Πραξιδίκα* et *ξυνὰ σοφία* scribendum, nam Thessalae haud dubie sunt mulieres. Meineke *ἔρεξεν* interpretatur *ἔβαψεν,* quod mihi hoc quidem loco, ubi *ἐβούλευσεν* huic vocabulo opponitur, non probabile videtur; erat picta vestis: Dyseris imaginem delineavit, Praxidica acu pinxit, quemadmodum in vasculis pictis *γράψαι* dicitur qui exemplum in tabula designavit, *ποιῆσαι* qui in vasculo pinxit: sive idem utroque officio pariter functus est, *ἔγραψεν κἀποίησε* dici solet. At illam verbi *ῥέζειν* significationem deprehendisse mihi videor in Hesiodo Op. 748: *Μηδ' ἀπὸ χυτροπόδων ἀνεπιρρέκτων ἀνελόντα ἔσθειν μηδὲ λόεσθαι· ἐπεὶ καὶ τοῖς ἔνι ποινή,* quem locum tam veteres quam nostri interpretes frustra expedire conati sunt. Foculum figlinum, cui olla vel lebes imponebatur, poeta praecipit colore inficiendum esse: boni enim ominis erat, quamquam postea videntur hoc minus curavisse.

Epigr. 110. Anth. Pal. VI 137 a m. pr. *ἀνάθημα τῷ Ἀπόλλωνι παρὰ Ναυκράτους,* tum in m. a m. s. *τοῦ αὐτοῦ (Ἀνακρέοντος).*

Epigr. 111. Anth. Pal. VI 143: *ἀνάθημα τῷ Ἑρμῇ παρὰ Τιμώνακτος. τοῦ αὐτοῦ (Ἀνακρέοντος).* — V. 3. *κρείοντι* Brunck, cod. *κρειόεντι.*

Epigr. 112. Anth. Pal. VI 346: *Ἀνακρέοντος.* — V. 1. *Τέλλιδι* scripsi, *Τελλίᾳ ἱμερόεντα* Reiske, cod. *τε λαιαι ἡμεροεντα.*

δὸς δέ μιν εὐθυδίκων Εὐωνυμέων ἐνὶ δήμῳ
ναίειν αἰῶνος μοῖραν ἔχοντ' ἀγαθήν.

113. [Ep. 16.]

Καὶ σέ, Κλεηνορίδη, πόθος ὤλεσε πατρίδος αἴης
θαρσήσαντα Νότου λαίλαπι χειμερίῃ·
ὥρη γάρ σε πέδησεν ἀνέγγυος· ὑγρὰ δὲ τὴν σήν
κύματ' ἀφ' ἱμερτὴν ἔκλυσεν ἡλικίην.

114. [Ep. 19.]

Ἀλκίμων σ', ὡριστοκλείδη, πρῶτον οἰκτείρω φίλων,
ὤλεσας δ' ἥβην, ἀμύνων πατρίδος δουληΐην.

115. [Ep. 17.]

Βουκόλε τὰν ἀγέλαν πόρρω νέμε, μὴ τὸ Μύρωνος
βοίδιον ὡς ἔμπνουν βουσὶ συνεξελάσῃς.

116. [Ep. 18.]

Βοίδιον οὐ χοάνοις τετυπωμένον, ἀλλ' ὑπὸ γήρως
χαλκωθέν, σφετέρῃ ψεύσατο χειρὶ Μύρων.

---

117. [130.]

Strabo XIV 633: *Τέω δὲ Ἀθάμας μὲν πρότερον* (*ἔκτισεν*), *διόπερ* **Ἀθαμαντίδα** *καλεῖ αὐτὴν Ἀνακρέων.* Eadem Steph. Byz. v. *Τέως.*

118. [133.] 799

Plato Theag. 125 D: *ΣΩ. Ταῦτ' ἔστιν, ἅπερ ἔφη Ἀνακρέων τὴν Καλλικρίτην* (sic u, vulgo *Καλλικρήτην*) *ἐπίστασθαι· ἢ οὐκ οἶσθα τὸ ᾆσμα; ΘΕ. ἔγωγε. ΣΩ. Τί οὖν; τοιαύτης τινὸς καὶ σὺ ξυνουσίας ἐπιθυμεῖς ἀνδρός, ὅστις τυγχάνει ὁμότεχνος ὢν Καλλικρίτῃ τῇ Κυάνης* (sic 𝔄, vulgo *Κυανῆς*), *καὶ ἐπίσταται τυραννικά, ὥσπερ*

V. 3. *δὸς δέ μιν εὐθυδίκων*, Hecker *δὸς δέ οἱ εὐθυδίκῳ Εὐ. ἐνὶ δήμῳ.* — V. 4. *ἀγαθήν*, Barnes *ἀγαθῆς*.

Epigr. 113. Anth. Pal. VII 263 a m. pr. *εἰς Κλεηνορίδην* (sed *ιδ* a m. s. in rasura) *ναυαγήσαντα*, a m. sec. *Ἀνακρέοντος Τηΐου.* et in marg. ad v. 2 *εἰς κλεάνορα.* Carmen hoc ab antiqua simplicitate aliquantum abhorret: nescio an sit Leonidae: memorabile certe, quod sequens Leonidae epigramma in naufragum anonymum sic inscribitur a m. pr. *εἰς τὸν αὐτὸν κλέ*, a m. sec. *Λεωνίδου.* — V. 2. *θαρσήσαντα* Plan., cod. P *θαρσήσαντι.* — V. 3. *ἀνέγγυος* Plan., cod. P *ἀνέγκυος.* — V. 4. *ἀφ'*, Plan. *ἀμφ'.* — *ἔκλυσεν*, malim *ἔκλασεν.*

Epigr. 114. Anth. Pal. XIII 4: *Ἀνακρέοντος τετράμετρον.* — V. 1. *φίλων*, cod. P *φίλῶ.* — V. 2. *δουληΐην* Iacobs, cod. P *δουλείην.* Videtur non tam epigramma, quam maioris alicuius carminis exordium esse.

Epigr. 115. Anth. Pal. IX 715: *Ἀνακρέοντος.* Et hoc et subsequens epigramma Anacreonti abiudicandum, nisi forte iunioris fuit Anacreontis.

Epigr. 116. Anth. Pal. IX 716: *τοῦ αὐτοῦ* (*Ἀνακρέοντος*).

ἐκείνην ἔφη ὁ ποιητής, ἵνα καὶ σὺ ἡμῖν τύραννος γένῃ καὶ τῇ πόλει. Apud Arcad. 110, 25 *κυάνη κύριον* legitur, sed cum de bisyllabis agatur, restituendum *Κάνη*, quod etiam Schmidt vidit. Nomen comparet in vasculo Musei Britannici quod descripsit Broendstedt p. 56, estque illic haud dubie Atticae virginis, siquidem ibidem fontis nomen *ΚΑΛΙΡΕΚΡΕΝΕ* adscriptum.

119. [134.]

Schol. Apoll. Rhod. I 789: *Καλῆς δι' ἀναστάδος]· καλῆς δέ, ἤτοι ὅτι βασίλεια τὰ οἰκήματα ἢ ὅτι ἐρωτικά· τοιαῦτα γὰρ τὰ τῶν ἐρωμένων· ὡς καὶ Ἀνακρέων ἐπὶ ἐρωμένης φησίν.* Anacreontis locus excidisse videtur.

120. [135.]

Maxim. Tyr. XXIV 9: *Ἡ δὲ τοῦ Τηΐου σοφιστοῦ τέχνη τοῦ αὐτοῦ ἤθους καὶ τρόπου· καὶ γὰρ πάντων ἐρᾷ τῶν καλῶν καὶ ἐπαινεῖ πάντας ... καὶ αὖθις καλὸν εἶναι τῷ ἔρωτι τὰ δίκαιά φησι.*

121. [136.]

Athen. I 12 A: *Παρ' ὅλην δὲ τὴν συνουσίαν παρέκειντο αἱ τράπεζαι πλήρεις, ὡς παρὰ πολλοῖς τῶν βαρβάρων ἔτι καὶ νῦν ἔθος ἐστί, κατηρεφέες παντοίων ἀγαθῶν κατὰ Ἀνακρέοντα.*

122. [137.]

Gregor. in Hermog. Rhett. VII 1236: *Αἰσχρῶς μὲν κολακεύει τὴν ἀκοὴν ἐκεῖνα, ὅσα εἰσὶν ἐρωτικά· οἷον τὰ Ἀνακρέοντος, τὰ Σαπφοῦς· οἷον γάλακτος λευκοτέρα, ὕδατος ἁπαλωτέρα, πηκτίδων ἐμμελεστέρα, ἵππου γαυροτέρα, ῥόδων ἁβροτέρα, ἱματίου ἑανοῦ μαλακωτέρα, χρυσοῦ τιμιωτέρα.*

123. [138.]

Pollux VI 107: *Ἀνακρέων δὲ καὶ μύρτοις στεφανοῦσθαί φησι καὶ κοριάννοις καὶ αὐτῷ* (legas *καὶ λύγῳ*, om. A, vid. fr. 42) *καὶ Ναυκρατίτῃ στεφάνῳ (σάμψυχος οὗτος ἦν)* (vid. fr. 83) *καὶ ἀνήτῳ, ὡς καὶ Σαπφὼ καὶ Ἀλκαῖος.*

124. [139.]

Himer. Or. III 3: *Χαῖρε φίλον φάος χαρίεντι μειδιόον προσώπῳ· μέλος γάρ τι λαβὼν ἐκ τῆς λύρας εἰς τὴν σὴν ἐπιδημίαν προσᾴσομαι, ἡδέως μὲν ἂν πείσας καὶ αὐτοὺς τοὺς λόγους λύραν μοι γενέσθαι καὶ ποίησιν, ἵνα τι κατὰ σοῦ νεανιεύσωμαι, ὁποῖον Σιμωνίδης ἢ Πίνδαρος κατὰ Διονύσου καὶ Ἀπόλλωνος. Ἐπεὶ δὲ ἀγέρωχοί τε ὄντες καὶ ὑψαυχένες ἄφετοί τε καὶ ἔξω μέτρων ἀθύρουσιν, ὀλίγα* 8 *παρακαλέσας τὴν ποίησιν δοῦναί μοί τι μέλος Τήϊον· ταύτην γὰρ φιλῶ τὴν Μοῦσαν· ἐκ τῶν ἀποθέτων τῶν Ἀνακρέοντος τοῦτόν σοι φέρων τὸν ὕμνον ἔρχομαι, καί τι καὶ αὐτὸς προσθεὶς τῷ ᾄσματι· Ὦ φάος Ἑλλήνων καὶ τῶν ὅσοι Παλλάδος ἱερὸν δάπεδον Μουσάων τε ἄλση νεμόμεθα.* haec novissima ad imitationem

Anacreontis composita esse videntur, fortasse etiam primora, quibuscum compares symbolum mysticum ap. Firm. Matern. p. 26: *χαῖρε, νυμφίε, χαῖρε νέον φῶς.*

125. [140.]

Himer. Or. IV 3: *Φέρε οὖν, ἐπειδὴ καὶ ἡμᾶς, ὦ παῖδες, ὥσπερ τις θεός, ὅδε ὁ ἀνὴρ φαίνει, οἵους ποιηταὶ πολλάκις εἰς ἀνθρώπων εἴδη μορφάς τε ποικίλας ἀμείβοντες πόλεις τε εἰς μέσας καὶ δήμους ἄγουσιν, ἀνθρώπων ὕβριν τε καὶ εὐνομίην ἐφέποντας, οἵαν Ὅμηρος μὲν Ἀθηνᾶν, Διόνυσον δὲ Ἀνακρέων Εὐριπίδης τε ἔδειξαν.*

126.

Himer. Or. V 3: (*Ἔσπευδε*) *μὲν Ἀνακρέων εἰς Πολυκράτους στελλόμενος τὸν μέγαν Ξάνθιππον προσφθέγξασθαι, ἡδὺ δ' ἦν καὶ Πινδάρῳ προσειπεῖν πρὸ τοῦ Διὸς τὸν Ἱέρωνα.*

127. [143.]

Photius 570, 13: *Ταντάλου τάλαντα· πλούσιος ὁ Φρὺξ Τάνταλος διαβεβόητο, Πλουτοῦς καὶ Διὸς λεγόμενος· κέχρηται δὲ τῇ παροιμίᾳ καὶ Ἀνακρέων ἐν γ΄, γέγονε δὲ παρὰ τὸ ὄνομα τάλαντα, ὡς καὶ παρὰ τῷ κωμικῷ εἴρηται· Τὰ Ταντάλου τάλαντα ταντολίζεται.* Cf. Apostol. XIV 16. Suidas v. *Τὰ Ταντάλου* (*τάλαντα*) *ταντολίζεται.* Arsen. 443.

128. [144.]

Zenob. V 20: *Μέγα φρονεῖ μᾶλλον ἢ Πηλεὺς ἐπὶ τῇ μαχαίρᾳ· Μέμνηται ταύτης Ἀνακρέων· καὶ Πίνδαρος ἐν Νεμεονικαῖς* (IV 95)· *φασὶ δὲ αὐτὴν ὑπὸ Ἡφαίστου γενομένην δῶρον Πηλεῖ σωφροσύνης ἕνεκα παρὰ τῶν θεῶν δοθῆναι· ᾗ χρώμενος πάντα κατώρθου καὶ ἐν ταῖς μάχαις καὶ ἐν ταῖς θήραις.* Cf. ibi interpr. Arsen. 351.

129. [12.]

Himer. Or. XIV 4: *Νῦν ἔδει μοι Τηΐων μελῶν, νῦν ἔδει μοι τῆς Ἀνακρέοντος λύρας, ἣν ὅταν ὑπὸ παιδικῶν ἐκεῖνος ὑπεροφθῇ ποτε, καὶ κατ' αὐτῶν Ἐρώτων οἶδεν ἁρμόσασθαι· εἶπον ἂν πρὸς αὐτοὺς τὰ ἐκείνου ῥήματα· Ὑβρισταὶ καὶ ἀτάσθαλοι καὶ οὐκ εἰδότες, ἐφ' οὓς τὰ βέλη κυκλώσεσθε* (pluralem numerum sophista substituisse videtur). *τάχα δ' ἂν καὶ ἠπείλησα τὴν ἀπειλήν, ἣν Ἀνακρέων ἀπειλεῖ τοῖς Ἔρωσιν* (haec haud dubie referenda sunt ad fr. 24 et 25)· *ἐκεῖνος γάρ ποτε ἐρασθεὶς ἐφήβου καλοῦ, ἐπειδήπερ ἑώρα τὸν ἔφηβον ὀλίγον αὐτοῦ φροντίζοντα, λύραν ἁρμόσας ἠπείλει τοῖς Ἔρωσιν, εἰ μὴ αὐτῷ τιτρώσκοιεν αὐτίκα τὸν ἔφηβον, μηκέτι* 801
μέλος εὔφημον εἰς αὐτοὺς ἀνακρούσασθαι.

130. [132.]

Schol. Hom. Od. θ 294: *Καὶ Ἀνακρέων δὲ ὡς πολεμικῶν ὅπλων τεχνίτας* (*Σίντιας*) *μέμνηται· τί μοι, φησί, τῶν ἀγκύλων τόξων φιλοκίμεως καὶ Σκυθῶν μέλει*; unde Buttmann scripsit: *τί μοι*

Τῶν ἀγκύλων τόξων φίλε, Τί μοι δὲ Σιντίων μέλει; Aliquanto rectius Cram. An. Par. III 455, 29: *Καὶ Ἀνακρέων δὲ ὡς πολεμικῶν μέμνηται· τί μοι, φησί, τῶν ἀγκύλων τόξων φιλοκιμέρων καὶ Σκυθῶν μέλλει.* ubi Cramer *Σιντίων τῶν ἀγκυλοτόξων* coniecit, Schneidewinus *τί μοι τῶν ἀγκυλοτόξων Ὦ φίλε Κιμμερίων Σιντιέων τε μέλει.* Locus certo corrigi nequit, olim haec proposui:

Τί μοι τῶν ἀγκυλοτόξων
Σιντέων φυλόπιδος Κιμμερίων τε μέλει;

sed fortasse praestat: *Τί μοι Σιντέων τῶν ἀγκυλοτόξων Καὶ φίλε Κιμμερίων καὶ Σκυθέων μελέτης*; quemadmodum Eurip. Hippol. 221 *τί κυνηγεσίων καὶ σοὶ μελέτης*; quod Homerus Il. φ 360 breviter dixit *τί μοι ἔριδος καὶ ἀρωγῆς*, de qua brachylogia vid. Bernhardy Paralip. 16.

131. [13.]

Schol. Hom. Il. τ 21: *Ἐν ἑαυτῷ τι πρᾶγμα τὴν ὑποβολὴν ἔχον, ὑπεροχὴν* (Schneidewin bis *ὑπερβολὴν* requirit) *οὐκ ἐπιδέχεται μείζονα· καὶ Ἀνακρέων· κωμάζει δέ, ὡς δεῖ, Διόνυσος, αὐτὸν αὐτῷ συγκρίνας.* Schneidewin *ὡς ἂν δὴ* coni. vel *ὡς ἂν εἰ.* Hartung: *κώμαζε δ' ὅπως δεῖ Διόνυσον.* Scribendum videtur:

. . . κωμάσει δ',
ὡς ἂν δῇ Διόνυσος.

132. [145.]

Mythogr. Vat. III 4 (Fulgent. Myth. I 25): „Iupiter enim, ut Anacreon antiquissimus auctorum scribit, rex extitit Cretae, qui dum adversus Titanas, id est Titani filios, qui frater Saturni fuerat, bellum suscepisset, et sacrificium Coelo fecisset, in victoriae auspicium aquilae sibi adesse prosperum vidit volatum, cuius cum vicisset augurio, in signis bellicis sibi auream fecit." Sed videntur haec ex Anacreontis iunioris Phaenomenis petita esse, C. Fr. Hermann medii aevi scriptorem, qui Creontis vel Anacreontis nomen mutuatus de natura deorum scripserit, sibi videtur hic deprehendere, vid. Philol. X 323.

133.

Schol. Hor. Carm. IV 9, 9: „Anacreon satyram scripsit, amicus Lysandri. Alii dicunt, quod scripsit Circen et Penelopen in uno laborantes." quae postrema ex Hor. Carm. I 17, 18 petita sunt: *Et fide Teia Dices laborantes in uno Penelopen vitreamque Circen*; nec minus suspecta sunt priora.

134. [109.]

Orion 3, 11: *Ἁβρός, ὁ κούφως βαίνων, κατὰ στέρησιν τοῦ βάρους· οὕτως ἐν ὑπομνήματι Ἀνακρέοντος εὗρον.*

135. [96.] 80

Hesych.: *Αἰθιόπαιδα· τὸν Διόνυσον. Ἀνακρέων. ἄλλοι τὸν*

οἶνον, ἄλλοι τὴν Ἄρτεμιν· cod. Αἰθιοπεῖς παῖδα. Corrigas: Αἰθοπίης παῖδα. Hartung αἰθίοπα vel αἴθοπα παῖδα.

136. [125.]

Et. M. 514, 28: Κινάκη, ὁ ἀκινάκης κινάκης παρὰ Σοφοκλεῖ· τὸ μὲν γὰρ Ἀνακρεόντειον χωρὶς τοῦ ἰῶτα γράφεται καὶ γέγονεν ἔκθλιψις τοῦ ἰῶτα, καὶ κράσει τοῦ ωα τὠκινάκῃ, ὥσπερ ὦ Ἄπολλον Ὤπολλον. Fortasse quod ibidem legitur σὺν τῇδε τῇστραπῇ (vel τῇ στραπῇ), item Anacreontis est.

137. [110.]

Bekk. An. I 373, 28: Ἀκταινῶσαι· ἀντὶ τοῦ ὑψῶσαι καὶ ἐξᾶραι καὶ μετεωρίσαι· πεποίηται δὲ οὕτως· ἔστι δένδρον, ὃ καλεῖται ἀκτή, ἀφ' οὗ τὰ ἀκόντια τέμνεται· οὕτως Ἀνακρέων.

138. [97.]

Et. M. 703, 28: Ῥῆγος, τὸ πορφυροῦν περιβόλαιον. ... ὅτι δὲ ῥαγεῖς ἔλεγον τοὺς βαφεῖς καὶ ῥέγος τὸ βάμμα σαφὲς Ἀνακρέων ποιεῖ· Ἁλιπόρφυρον ῥέγος. Similia Et. Gud. 492, 18 (ubi ῥῆγος scribitur) et Zonar. 1608.

139. [111.]

Hesych.: Ἄμιθα· ἔδεσμα ποιὸν καὶ ἄρτυμα, ὡς Ἀνακρέων. Exspectes Ἀμίθη. cf. ib. Σαμίθη· ῥόφημά τι, ὡς Γλαυκίας ὁ ἰατρός. Contra Schmidt putat ἄμιθα depravatum esse ex ἀμμαμηθάδης, quod idem Hes. interpretatur ἥδυσμά τι σκευαστὸν διὰ κρεῶν εἰς μικρὰ κεκομμένων δι' ἀρτυμάτων.

140.

Eust. Od. 1538, 50: Ὅθεν ἀνήλατός φησι παρὰ Ἀνακρέοντι ὁ ἀπειθής, ἀπὸ ὑποζυγίων.

141.

Et. Sorb. (vid. Et. M. 159, 50 not.) Ἀστράβη· ... εἰς Ἀνακρέοντα εἴρηται καὶ ἀστραφὴ καὶ ἐπὶ ὀχήματος, ἐφ' οὗ ἀσφαλῶς κάθηνται. Fuit fortasse etiam forma στράβη in usu, vid. Hesych.: Ἐπιστραβής (cod. πιστράβη . .)· ὄχημα, ἀκινδύνως φέρων. ubi scribendum:

Ἐπὶ στράβης, ὄχημ' ἀκινδύνως φέρων.

explicatio enim excidit, estque fortasse Anacreontis versus. Similiter locum correxit Pierson, nisi quod ἐπ' ἀστράβης scripsit.

142. [112.]

Hesych.: Αὐτάγητοι· ἀγάμεναι ἑαυτὰς καὶ θαυμαστῶς ἔχουσαι ἑαυτῶν. Ἴων Ἀλκμήνῃ· ἔνιοι δὲ αὐθάδεις. καὶ Ἀνακρέων οὕτω κέχρηται.

143. [113.] 803

Athen. IV 182 F: Τὸν γὰρ βάρωμον καὶ βάρβιτον, ὧν

Σαπφὼ καὶ Ἀνακρέων μνημονεύουσι, καὶ τὴν μάγαδιν καὶ τὰ τρίγωνα καὶ τὰς σαμβύκας ἀρχαῖα εἶναι. Cf. ib. 175 D.

144. [114.]

Eust. 932, 1: *Καὶ ὅτι τοὺς οὕτως ἔξοντας ἐπ' ἀμφοτέρους πόδας καὶ γ ο ν ν κ ρ ό τ ο υ ς τηνικαῦτα δριμέως ἐστὶ προσειπεῖν, καθὰ καὶ οἱ παλαιοὶ δηλοῦσιν, ἐν οἷς φασίν, ὅτι γ ο ν ν ύ κ ρ ο τ ο ι οἱ βλαισοί· Ἀνακρέων δὲ κέχρηται ἐπὶ δειλῶν.*

145. [115.]

Pollux III 49: *Ἀνακρέων δὲ δ ί τ ο κ ο ν* (sic Bekker, v. *διτόκον*) *τὴν δὶς τεκοῦσαν.*

146. [116.]

Et. M. 385, 91: *Ἐσυνῆκεν· Ἀλκαῖος ἐσυνῆκε καὶ Ἀνακρέων ἐ ξ υ ν ῆ κ ε ν πλεονασμῷ.*

147. [117.]

Schol. Arist. Acharn. 1133: *Διὰ τὸ θερμαίνειν οὖν τὸ στῆθος θ ω ρ ή σ σ ε ι ν λέγουσιν τὸ μεθύειν καὶ ἀκροθώρακας* (vulgo *θ ώ ρ α κ α ς*) *τοὺς ἀκρομεθύσους ἐκάλουν· κέχρηται δὲ τῇ λέξει καὶ Ἀνακρέων· ἔστι δὲ Ἀττική.* Cf. Suidas v. *θωρήξασθαι* et Zonar. 1068, ubi Anacreonti tribui videntur verba *ὥστε θωρακισθῆναι*, quae etiam apud Schol. leguntur, sed tanquam grammatici verba: potuit Anacreon *ὥ σ τ ε θ ω ρ η κ ι σ θ ῆ ν α ι* in tetrametro claudo dicere, nec tamen verisimile, nam *θωρακίζειν* pedestre est vocabulum, elegiaci autem poetae *θωρήσσειν* eo sensu frequentant, vide ad Theogn. 470.

148. [141.]

Pollux III 98: *Μετοχαὶ δὲ τέρπων, ἀλλὰ καὶ ἔτερψεν· τὸ γὰρ ἦδω Ἰωνικὸν καὶ τὸ ἦσε* (AC *ἦ σ ε ν*, vulgo *ἦδε*) *σπάνιον μὲν παρ' ἡμῖν, Ἀνακρέων δ' αὐτὸ εἴρηκεν, Ἴων καὶ ποιητὴς ἀνήρ.*

149. [118.]

Apollon. Dysc. in Bekk. An. II 572, 14: *Τούτοις δὴ ἐπιστήσας ὁ Τρύφων ἐζήτει περὶ τοῦ μεγαλωστί, ἱ ρ ω σ τ ὶ* (cod. *ἱερωστί*, sed infra *ἱρωστί*) *παρὰ Ἀνακρέοντι.* Cf. Schol. Il. σ 26 ubi *ἡρωιστί*, et Favorin. 103, qui *δίκην ἱερέως* interpretatur. Hoc adverbium olim existimavi restituendum esse Theocrito in Helenae Epithalamio v. 49: *ἱρωστὶ σέβου* pro *δωριστί*, sed potius legendum est: *Γράμματα δ' ἐν φλοιῷ γεγράψεται, ὡς παριών τις Ἀννείμῃ, κ ω ρ ι σ τ ί· σέβου μ', Ἑλένας φυτὸν εἰμί.*

150. [119.]

Pollux V 96: *Σὺ δ' ἂν προσθείης ... καὶ κ ά λ υ κ α ς παρ' Ὁμήρου τε καὶ Ἀνακρέοντος.*

151. 804

Et. Gud. 339, 22: *Κορώνη ... παρὰ τὸ καῦρον, ὃ σημαίνει τὸ*

κακόν· Ἀνακρέων κόρωνα βαίνων φησί. Cf. cod. Havn. ad Et. M. 530, 17.

152. [120.]

Pollux II 103: *Πτύσμα ... τὰ δὲ ἀπ' αὐτοῦ ὀνόματα πτύειν, ἀποπτύειν, καταπτύειν, κατάπτυστον, ἀπόπτυστον· Ἀνακρέων δὲ καὶ καταπτύστην εἴρηκε.*

153. [121.]

Eust. 1654, 17: *Ὥσπερ καὶ κλάς φησι (Ἡρακλείδης) παρὰ Ἀνακρέοντι.* Favorin. 443. Nisi est fr. 17, 1.

154. [121.]

Proclus Hesiod. Op. 371: *Κωτίλλουσα δὲ σημαίνει ἡδέα λέγουσα· καὶ γὰρ τὴν χελιδόνα κωτίλλειν λέγει, ὡς ἔστι παρὰ Ἀνακρέοντι· κωτίλη χελιδών.* Cf. Tzetz. ibid.

155. [100.]

Schol. Aesch. Pers. 41: *Ἁβροδίαιτοι δὲ οὗτοι (Λυδοί), ὅθεν καὶ τὸ παρὰ Ἀνακρέοντι· Λυδοπαθεῖς τινες ἀντὶ τοῦ ἡδυπαθεῖς.* Respicit Athen. XV 690 C. Eust. 1144, 14.

156. 157. 158. 159. [142.]

Suid.: *Μυσάχνη ἡ πόρνη παρὰ Ἀρχιλόχῳ ... Ἀνακρέων δὲ πανδοσίαν καὶ λεωφόρον καὶ μανιόκηπον· κῆπος γὰρ τὸ μόριον.* Adde Eust. 1329, 34 qui his quartum convicium addit: *Καὶ μὴν ὁ Ἀνακρέων τὴν τοιαύτην οὐ πάνυ σφοδρῶς, ἀλλὰ περιεσκεμμένως πανδοσίαν ὠνείδισε καὶ λεωφόρον καὶ πολύυμνον.* id. 1921, 61 quatuor haec convicia sine poetae nomine interpretatur, sed 1088, 38 ex Anacreonte affert *πανδοσία* et *λεωφόρος*, quae iam 1084, 41 s. p. n. adscripserat, rursus 862, 45 s. p. n. adhibet *πανδοσία*, et similiter 536, 21 et 1516, 22 s. p. n. *μανιόκηπος*, quod ipsum 1572, 13 *comici poetae* esse dicit.

160. [124.]

Schol. Apoll. Rhod. II 127: *Παμφαλᾶν γὰρ τὸ μετὰ πτοιήσεως καὶ ἐνθουσιασμοῦ ἐπιβλέπειν, κέχρηται δὲ τῇ λέξει καὶ Ἱππῶναξ καὶ Ἀνακρέων.*

161. [101.]

Pollux VI 23: *Καὶ οἰνηρὸς θεράπων παρὰ Ἀνακρέοντι.*

162. [102.] 805

Pollux VI 21: *Καὶ οἰνοπότης καὶ οἰνοπότις γυνὴ ὡς Ἀνακρέων.*

163.

Serv. Virg. Aen. I 749: „Bibebat amorem. Allusit ad convivium. Sic Anacreon: *Ἔρωτα πίνων.*"

164. [103.]

Hesych.: *Γυναῖκες εἰλίποδες· διὰ τὴν δέσιν τῶν σκελῶν καὶ πλοκὴν τὴν κατὰ τὴν συνουσίαν· καὶ Ἀνακρέων· Πλέξαντες μηροῖσι παρὰ* (cod. *πὲ*) *μηρούς*. Scribendum puto:

Πλέξαντες μηροῖς πέρι μηρούς * *

165. [104.]

Schol. Apoll. Rhod. III 106: *ῥαδινῆς· τρυφερῆς. Ἀνακρέων δὲ ἐπὶ τάχους ἔταξε τὸ ῥαδινόν· Ῥαδινοὺς πώλους.*

166. [105.]

Choerobosc. II 555: *Σημειούμεθα παρὰ τῷ ποιητῇ τό· τά μοι ῥερυπωμένα κεῖται — καὶ τὸ ῥεραπισμένω νώτω παρὰ τῷ Ἀνακρέοντι.* ita cod. Bar., sed Par. ap. Bekk. An. III 1287 *ῥεραπισμένα* (*μένος*) *νῶ*, unde coniicias *ῥεραπισμένα νῶτα*. Cf. Schol. Hom. Od. ζ 59: *Ἔστι δὲ καὶ παρὰ Ἀνακρέοντι ὁ ῥεραπισμένῳ νώτῳ* et Cram. An. Ox. IV 415, 4: *ῥεραπισμένω νῶτον*. Herodianus in Aldi Cornu cop. 194: *ῥεραπισμένων ὤτων*. Adde Cram. An. Ox. IV 185, 17 (ubi *ῥεραπισμένω*) et An. Par. IV 226, 17, ubi *ῥεραπισμένῳ νώτῳ*, quae vera videtur scriptura.

167. [126.]

Et. M. 707, 50: *Καὶ σαλαΐζειν* (V supra *σαλαμβίζειν*) *Ἀνακρέων ἐπὶ τοῦ θρηνεῖν.* Cf. Orion. 148, 5, ubi *σηλάζειν*. Hesychius: *σαλαΐζειν, κόπτεσθαι.*

168. [106.]

Clem. Alex. Paedag. III 294: *Τὸ γὰρ ἁβροδίαιτον τῆς περὶ τὸν περίπατον κινήσεως καὶ τὸ σαῦλα βαίνειν. ὥς φησιν Ἀνακρέων, κομιδῇ ἑταιρικά.* Schneidewin opinatur Clementem vel confudisse cum fr. 151 vel intellexisse Simonidis Amorgini fr. 18: sed neutrum probabile.

169. [107.]

Schol. Apoll. Rhod. III 120: *Μάργος Ἔρως· κατὰ μετωνυμίαν ὁ μαργαίνειν ποιῶν ... καὶ Ἀνακρέων Τακερὸς δ' Ἔρως.*

170. [108.] 806

Serv. Virg. Aen. XI 550: „*Caroque oneri timet*] Anacreon *φορτίον ἔρωτος* id est onus amoris.“ Scribend. videtur *φόρτον Ἔρωτος*. quod fortasse de Europe dictum, cf. Batrachom. 75, cuius auctor aperte alius poetae celebrem aliquem locum imitatur, fortasse Anacreontis, et Nonnus IV 118.

171. [127.]

Schol. Hom. Il. ν 227: Ὕμνον γὰρ καὶ Ἀνακρέων τὸν θρῆνόν φησιν. Cf. Eust. 928, 63.

172. [128.]

Herodian. περὶ μον. λέξ. 11, 26: Φίλλος, παρὰ Ἀνακρέοντι τὸ ὄνομα. Dindorf vel Βίλλος vel βίλλος coniecit (Arcad. 53, 1 βίλλος τὸ ἀνδρεῖον αἰδοῖον παρὰ Ἐφεσίοις), at Φιλλώ nomen mulieris legitur in titulo Attico Ephem. Arch. 3500, et Φιλλίς pro Φιλίς fort. restituendum est apud Hippocratem Epidem. IV 4, quamquam sane etiam nomen Βίλλος apud eundem legitur Epidem. V 96.

XX.

ANACREONTEA.

1. [65.] *)

Ἀνακρέων ἰδών με,
ὁ Τήϊος μελῳδός,
ὄναρ λέγων προσεῖπεν·
κἀγὼ δραμὼν πρὸς αὐτόν
περιπλάκην φιλήσας.
γέρων μὲν ἦν, καλὸς δέ,
καλός γε καὶ φίλευνος·
τὸ χεῖλος ὦζεν οἴνου·
τρέμοντα δ' αὐτὸν ἤδη
Ἔρως ἐχειραγώγει.
ὁ δ' ἐξελὼν καρήνου
ἐμοὶ στέφος δίδωσιν·
τὸ δ' ὦζ' Ἀνακρέοντος.
ἐγὼ δ' ὁ μωρὸς ἄρας

Anacreontea. De originibus horum carminum accurate et docte disputavit C. G. Stark (Quaestiones Anacreonticae Lips. 1846): neque tamen, quod ille existimat, germanum ullum Anacreontis carmen in his inest, sed recentioris originis sunt omnia, diversis illa quidem aetatibus composita et temporis decursu identidem immutata: quae quas subierint vicissitudines, ostendi ad carmen 3: et hinc potissimum intelligitur, quanta sit adhibenda cautio in his carminibus ad criticae artis leges corrigendis. Carmina eo ordine exhibeo, quo in codice leguntur, vulgari ordine insuper significato. Ceterum non recepi neque carmen *εἰς νεκρὸν Ἄδωνιν*, quod *Theocrito* vulgo tribuitur, sed *Bionis* potius esse videtur, neque *Theodori Prodromi* carmen, quod est editum in Notitiis et Exc. Codd. Paris. VIII 2 p. 125, neque denique *Pauli Silentiarii* carmen *εἰς τὰ ἐν Πυθίοις θερμά*. Contra alia quaedam carmina in Appendice subieci, de quibus dicetur suo loco. — Cod. Pal. secundum Levesquium: *Ἀνακρέοντος Τηΐου συμποσιακὰ ἡμιάμβια*, sec. Spalettium: *Ἀ. τ. σ. ἡ. καὶ ἀνακρέοντια καὶ τρίμετρα*, index Anthol. Palat. T. III p. 4 exhibet: *ἀνακρεόντια: καὶ τρίμετρα: τοῦ ἁγίου γρηγορίου τοῦ θεολόγου ἐκ τῶν ἐπῶν ἐκλογαὶ διάφοροι.*

1. Melhorn in tres strophas quinorum versuum descripsit, quibus duo versus epodi loco sint subiecti. Ipsi carmini Brunck *Βασιλίου* praemisit, quoniam 2 inscribitur *τοῦ αὐτοῦ Βασιλίου*. — V. 3. *λέγων*, si quid mutandum, *γελῶν* possis scribere, Baxter *ὄναρ λέγω*, *προσεῖπεν*. — *προσεῖπεν*, cod. *προεῖπεν* (ο supra). — V. 5. *περιπλάκην*, cod. *περὶ πλάκην*. — V. 7. *γε* cod., vulgo *τε*. — *φίλευνος*, Brossius *φίλοινος*, possis *φίλυμνος* coniicere, sed totus versus commode abiici potest.

*) Numeri adiecti sunt editionum vulgarium.

ἐδησάμην μετώπῳ.
καὶ δῆθεν ἄχρι καὶ νῦν
ἔρωτος οὐ πέπαυμαι.

2. [48.] 808

ΤΟΥ ΑΥΤΟΥ ΒΑΣΙΛΕΙΟΥ.

Δότε μοι λύρην Ὁμήρου
φονίης ἄνευθε χορδῆς·
φέρε μοι κύπελλα θεσμῶν,
φέρε μοι νόμους, κεράσσω,
μεθύων ὅπως χορεύσω,
ὑπὸ σώφρονος δὲ λύσσης
μετὰ βαρβίτων ἀείδων
τὸ παροίνιον βοήσω.
δότε μοι λύρην Ὁμήρου
φονίης ἄνευθε χορδῆς.

2 B. [49.]

(ΑΛΛΟ.)

Ἄγε ζωγράφων ἄριστε,
λυρικῆς ἄκουε μούσης·
φιλοπαίγμονες δὲ Βάκχαι
. . . .
γράφε τὰς πόλεις τὸ πρῶτον
ἱλαράς τε καὶ γελώσας.
. . . .
ἑτεροπνόους ἐναύλους·
ὁ δὲ κηρὸς ἂν δύναιτο,
γράφε καὶ νόμους φιλούντων.

3. [17.]

ΕΙΣ ΠΟΤΗΡΙΟΝ ΑΡΓΥΡΟΥΝ.

Τὸν ἄργυρον τορεύων
Ἥφαιστέ μοι ποίησον
πανοπλίαν μὲν οὐχί,
τί γὰρ μάχαισι κἀμοί;

V. 15. ἐδησάμην, cod. ἐδησάμεν. — V. 16. καὶ δῆθεν, Mehlhorn et Iacobs κἀντεῦθεν.

2. τοῦ αὐτοῦ Βασιλίου (scr. Βασιλείου) Spaletti ex cod., Stephanus ἄλλο. — V. 4. φέρε μοι νόμους, κεράσσω, vulgo distinguunt φέρε μοι· νόμους κεράσσω. — V. 9 et 10 om. Steph.

2 B. In cod. non est disiunctum a carm. 2, Melhorn post 24 inseruit. V. 4 et 5 vulgo inserunt post v. 2, quod quamvis probabile sit, tamen ea traiectione nequaquam integrum restituitur carmen, itaque satius duxi post v. 3 et post v. 5 lacunam indicare. — V. 6. ἑτεροπνόους, in marg. ἑτεροπιρ, Stephanus ἑτεροπνόοις ἐναύλοις, Barnes coniecit φιλοπαίγμονάς τε Βάκχας ἑτεροπνόοις ἐν αὐλοῖς, Brunck φιλοπαίγμονός τε Βάκχου ἑτεροπνόους ἐναύλους, Mehlhorn, qui post versum φιλοπαίγμονες δὲ Βάκχαι quaedam intercidisse statuit, scripsit ἑτέρᾳ πνόους ἐναύλους. — V. 7. Barnes ἂν δύνηται, Brunck εἰ δύναιτο.

3. Exhibui hoc carmen secundum cod., nisi quod v. 10 Πλειάδων pro πληάδων scripsi. Commode autem accidit, ut hoc carmen non solum legatur in Anthol. P. XI 48 τοῦ αὐτοῦ (i. e. Ἀνακρέοντος, sed cod. P om. lemma, nam exhibet post Anacreonteum 7, duobus his carminibus coniunctis, quasi unum esset carmen), et inde Cram. An. Par. IV 376, sed etiam apud Gellium N. A. XIX 9: „Oblectati autem sumus praeter multa alia versiculis lepidissimis *Anacreontis senis*, quos equidem scripsi, ut interea labor hic vigiliarum et inquies suavitate paulisper vocum atque modulorum acquiesceret: τὸν ἄργυρον κτλ.“ Intelligitur hic luculento exemplo per quos gradus corruptio harum cantilenarum sensim serpere solita sit et quam longe a germana forma ea species recedat, quam codex exhibet. Est enim carmen

ποτήριον δὲ κοῖλον,
ὅσον δύνῃ, βαθύνας.
ποίει δέ μοι κατ' αὐτοῦ
μήτ' ἄστρα μήτ' ἅμαξαν,
μὴ στυγνὸν Ὠρίωνα·
τί Πλειάδων μέλει μοι;
τί γὰρ καλοῦ Βοώτου;
ποίησον ἀμπέλους μοι,
καὶ βότρυας κατ' αὐτῶν,
καὶ Μαινάδας τρυγώσας.
ποίει δὲ ληνὸν οἴνου
ληνοβάτας πατοῦντας,
τοὺς Σατύρους γελῶντας,
καὶ χρυσοῦς τοὺς Ἔρωτας,
καὶ Κυθήρην γελῶσαν,
ὁμοῦ καλῷ Λυαίῳ
Ἔρωτα κἀφροδίτην.

809

sec. Anthologiam:

Τὸν ἄργυρον τορεύσας
Ἥφαιστέ μοι ποίησον
(πανοπλίαν μὲν οὐχί·)
ποτήριον δὲ κοῖλον
ὅσον δύνῃ βάθυνον.
ποίει δέ μοι κατ' αὐτοῦ
μηδ' ἄστρα μηδ' ἁμάξας,
μὴ στυγνὸν Ὠρίωνα,
ἀλλ' ἀμπέλους χλοώσας
καὶ βότρυας γελῶντας
σὺν τῷ καλῷ Λυαίῳ.

V. 3 om. Cod. P et Cram., sed habet Planudes; fortasse autem etiam proximus versus τί γὰρ μάχαισι κἀμοί librarii tantum negligentia omissus est, nam Cod. Pal. hic bina semper cola singulis versibus exhibet ex adverso posita. — V. 7. μηδ' ἁμάξας, Cod. P. μὴ αμάξας.

sec. Gellium:

Τὸν ἄργυρον τορεύσας
Ἥφαιστέ μοι ποίησον
πανοπλίας μὲν οὐχί,
τί γὰρ μάχαισι κἀμοί;
ποτήριον δὲ κοῖλον
ὅσον δύνῃ βάθυνον.
καί μοι ποίει κατ' αὐτὸ
μήτ' ἄστρα μήτ' ἁμάξας,
(μὴ στυγνὸν Ὠρίωνα.)
τί Πλειάδων μέλει μοι,
τί δ' ἀστέρος Βοώτεω;
ποίησον ἀμπέλους μοι
καὶ βότρυας κατ' αὐτῶν
καὶ χρυσέους πατοῦντας
ὁμοῦ καλῷ Λυαίῳ
Ἔρωτα καὶ Βάθυλλον.

V. 3. πανοπλίας Hertzii libri et vett. edd., vulgo πανοπλίαν. — V. 7. καί μοι ποίει scripsi, καὶ μὴ ποίει Hertz ex suis libris, ut videtur, et vett. edd., vulgo ποίει δέ μοι. — V. 9 omittunt vett. edd. et Hertzii libri. — V. 10 et 11 ita Hertzii codices et vett. edd., sed vulgo τί Πλειάδεσσι κἀμοί, τί δ' ἀστράσιν Βοώτεω; — V. 13. αὐτῶν Hertzii libri, vulgo αὐτό.

Ex his aparet, *antiquissimam* formam esse, quam Anthol. exhibet, ubi tenuis cantilena versibus 11 (vel 12) constat, hanc postea alius quis amplificavit additis versibus 5 (4. 10. 11. 14. 16) et immutata paululum oratione, maxime, ut fieri solet, sub finem carminis: hoc autem factum est aliquanto ante Gellii aetatem, quare ille poetarum recentium idyllia ab his cantilenis distinguit. Neque tamen ex hac forma continuo ea orta, quam cod. Pal. exhibet, sed primum tertius aliquis rursus exitum cantilenae exornavisse videtur in hunc modum:

Ποίησον ἀμπέλους μοι
καὶ βότρυας κατ' αὐτῶν,
καὶ Μαινάδας τρυγώσας.
ποίει δὲ ληνὸν οἴνου,
καὶ χρυσέους πατοῦντας

4. [18.] 810

ΑΛΛΟ ΕΙΣ ΤΟ ΑΥΤΟ ΠΟΤΗΡΙΟΝ.

Καλλιτέχνα τόρευσον
ἔαρος κύπελλον ἤδη·
τὰ πρῶτ' ἡμῖν τὰ τερπνὰ
ῥόδα φέρουσιν Ὧραι·
τὸν ἄργυρον δ' ἁπλώσας
ποίει πότον μοι τερπνόν·
μὴ τῶν, παραινῶ, τελετῶν
μὴ ξένον μοι τορεύσῃς,
μὴ φευκτὸν ἱστόρημα·
μᾶλλον ποίει Διὸς γόνον
Βάκχον Εὔϊον ἡμῖν·
μύστις νάματος ἡ Κύπρις
ὑμεναίοις κροτῶσα.
χάρασσ' Ἔρωτας ἀνόπλους
καὶ Χάριτας γελώσας
ὑπ' ἄμπελον εὐπέταλον,
εὐβότρυον, κομῶσαν·
σύναπτε κούρους εὐπρεπεῖς·
ἅμα Φοῖβος ἀθύροι.

5. [59.]

(ΙΟΥΛΙΑΝΟΥ) ΕΙΣ ΕΡΩΤΑ.

Στέφος πλέκων ποθ' εὗρον
ἐν τοῖς ῥόδοις Ἔρωτα·
καὶ τῶν πτερῶν κατασχὼν
ἐβάπτισ' εἰς τὸν οἶνον·
λαβὼν δ' ἔπινον αὐτόν,
καὶ νῦν ἔσω μελῶν μου
πτεροῖσι γαργαλίζει.

ὁμοῦ καλῷ Λυαίῳ
Ἔρωτα κἀφροδίτην.

Tum denique alius tribus his ultimis versibus substituit:

ληνοβάτας πατοῦντας
τοὺς Σατύρους γελῶντας
καὶ χρυσοῦς τοὺς Ἔρωτας
καὶ Κυθήρην γελῶσαν.

Haec autem omnia quamvis temere in codice Pal. coniuncta videmus. Hoc exemplo satis edocemur, qualis sit condicio reliquorum carminum. Apparet igitur, quo iure Melhorn haec in ternas quinorum versuum strophas redegerit, sex versibus segregatis.

4. Spaletti addit *τοῦ αὐτοῦ Ἀνακρέοντος*. Mehlhorn binos versiculos coniungit, ut sint tetrametri politici, ideoque v. 9 subditicium censet et alia quoque mutavit, alii etiam audacius in hoc semibarbaro carmine grassati sunt. — V. 1. *καλλιτέχνα* cod. in marg., ipse cod. *καλητέχνα*, vulgo *καλὴ τέχνα*. — V. 2. *ἤδη*, Stephanus *ἡδύ*. — V. 4. *φέρουσιν Ὧραι* scripsi, nam veris adventantis descriptio requiritur, tum demum simulacra poculi describuntur: cod. *ῥοδ^{o}α φέρουσαν ὥρην*. — V. 5. *ἄργυρον* Barnes, cod. *ἀργύρεον* vel *ἀργύριον*, in m. *ἀργυρέων μοι δ'*. — V. 7. *παραινῶ*, cod. *παρ' αἰνῶ*, Salmasius *παρ' οἴνῳ*. — V. 9. cod. *εστορημα*, sed corr. *ῐ*. — V. 13. *κροτῶσα*, Stephanus alii *κροτοῦσα*. — V. 19. *ἅμα* Medenbach, cod. *ἀμμη*. — *ἀθύροι* Mehlhorn alii, cod. *ἀθύ^{η}ρει*.

5. *εἰς Ἔρωτα*, Spaletti *τοῦ αὐτοῦ εἰς Ἔρωτα*. Legitur etiam in Anth. Plan. 388 ubi inscribitur *Ἰουλιανοῦ ἀπὸ ὑπάρχων Αἰγυπτίου*. — V. 1. *ποθ'* Pl., *ποτ'* cod. — V. 5. *λαβὼν*, malim *λαθών*. — *ἔπινον* Brunck, legebatur *ἔπιον*.

6. [11.]

ΕΙΣ ΕΑΥΤΟΝ.

Λέγουσιν αἱ γυναῖκες,
'Ανακρέων γέρων εἶ·
λαβὼν ἔσοπτρον ἄθρει
κόμας μὲν οὐκέτ' οὔσας,
ψιλὸν δέ σευ μέτωπον.
ἐγὼ δὲ τὰς κόμας μέν,
εἴτ' εἰσίν, εἴτ'. ἀπῆλθον, 811
οὐκ οἶδα· τοῦτο δ' οἶδα,
ὡς τῷ γέροντι μᾶλλον
πρέπει τὸ τερπνὰ παίζειν,
ὅσῳ πέλας τὰ Μοίρης.

7. [15.]

ΕΙΣ ΕΑΥΤΟΝ.

Οὔ μοι μέλει τὰ Γύγεω,
τοῦ Σαρδίων ἄνακτος·
οὐδ' εἷλέ πώ με ζῆλος,
οὐδὲ φθονῶ τυράννοις.
ἐμοὶ μέλει μύροισιν
καταβρέχειν ὑπήνην·
ἐμοὶ μέλει ῥόδοισιν
καταστέφειν κάρηνα.
τὸ σήμερον μέλει μοι,
τὸ δ' αὔριον τίς οἶδεν;
ὡς οὖν ἔτ' εὐδία 'στιν,
καὶ πῖνε καὶ κύβευε,
καὶ σπένδε τῷ Λυαίῳ,
μὴ νοῦσος, ἤν τις ἔλθῃ,
λέγῃ σε μὴ δεῖ πίνειν.

8. [31.]

ΕΙΣ ΕΑΥΤΟΝ ΜΕΜΕΘΥΣΜΕΝΟΝ.

Ἄφες με, τοὺς θεούς σοι,
πιεῖν πιεῖν ἀμυστί·

6. *εἰς ἑαυτόν*, Spal. add. *ἄλλο*, sed in m. om. — V. 2 cod. *'Ανακρεων* (o supra). — V. 8. *τοῦτο δ'*, cod. *τὸ δέ*. — V. 10. *τὸ*, Stephanus *τά*.

7. *εἰς ἑαυτόν*, Spal. in marg. *εἰς τὸ ἀφθόνως ζῆν*. Composita est haec cantilena ad similitudinem Archilochi fr. 24: *Οὔ μοι τὰ Γύγεω τοῦ πολυχρύσου μέλει, Οὐδ' εἷλέ πώ με ζῆλος, οὐδ' ἀγαίομαι Θεῶν ἔργα, μεγάλης δ' οὐκ ἐρῶ τυραννίδος*. quod documento est etiam aliorum lyricorum praeter Anacreontem carmina in usum suum convertisse auctores harum cantilenarum. Legitur in Anthol. Pal. XI 47 *'Ανακρέοντος* et in Cram. An. Par. IV 376 pars prior huius carminis usque ad v. 10, quod rursus documento est, quo pacto haec carmina sensim amplificata sint. Etiam varietas lectionis deprehenditur in Anth. et Cram. An., v. 1 *μέλει Γύγεω* om. *τὰ*, unde Plan. *Γύγαο*, v. 3 *οὐδ' αἱρέει με χρυσός*, v. 4 Anth. *οὐκ αἰνέω* (ex corr., fuit olim haud dubie *οὐ φθονέω*) *τυράννους*, sed Cram. *οὐ φθονέω τυράννους*, v. 5 et 7 Cram. *ἐμοῦ* (atque ita Anth. ante corr.). — V. 1. *Γύγεω*, cod. *γύγου*, sed in m. *γύγεο*. — V. 11—15 postea ab alio adiecti sunt, qui carminis argumentum magis dilucide exponere studuit; igitur hic quoque Melhorn frustra carmen, quod ex diversis partibus est conglutinatum, ad stropharum aequalitatem redigere studuit. — V. 11. *ὡς*, Barnes *ἕως*. — *εὐδία 'στιν* scripsi, cod. *εὐδί' ἔστιν*, Hermann *ἕως οὖν εὔδι' ἔστιν*. — V. 12. *πῖνε*, melius quadraret *παῖζε*, sed poeta potius quam librarius culpandus est. — V. 15. *λέγῃ* Stephanus, cod. *λέγει*. Deinde Stephanus et Scaliger *μηδὲ*, Barnes *μὴ πιεῖν δεῖν*, sed neutrum placet, sententiae institutae conveniret *ὕδωρ λέγῃ σε πίνειν*.

θέλω θέλω μανῆναι.
ἐμαίνετ' Ἀλκμέων τε 812
χὠ λευκόπους Ὀρέστης,
τὰς μητέρας κτανόντες·
ἐγὼ δὲ μηδένα κτάς,
πιὼν δ' ἐρυθρὸν οἶνον
θέλω θέλω μανῆναι.
ἐμαίνετ' Ἡρακλῆς πρίν
δεινὴν κλονῶν φαρέτρην
καὶ τόξον Ἰφίτειον.
ἐμαίνετο πρὶν Αἴας
μετ' ἀσπίδος κραδαίνων
τὴν Ἕκτορος μάχαιραν·
ἐγὼ δ' ἔχων κύπελλον
καὶ στέμμα τοῦτο χαίταις,
οὐ τόξον, οὐ μάχαιραν,
θέλω θέλω μανῆναι.

9. [12.]
ΕΙΣ ΧΕΛΙΔΟΝΑ.

Τί σοι θέλεις ποιήσω,
τί σοι, λάλη χελιδόν;
τὰ ταρσά σευ τὰ κοῦφα
θέλεις λαβὼν ψαλίξω;
ἢ μᾶλλον ἔνδοθέν σευ
τὴν γλῶσσαν, ὡς ὁ Τηρεύς
ἐκεῖνος, ἐκθερίξω;
τί μευ καλῶν ὀνείρων
ὑπορθρίαισι φωναῖς
ἀφήρπασας Βάθυλλον;

10. [77.]
ΕΙΣ ΕΡΩΤΑ ΚΗΡΙΝΟΝ.

Ἔρωτα κήρινόν τις
νεηνίης ἐπώλει·
ἐγὼ δέ οἱ παραστάς,
πόσον θέλεις, ἔφην, σοί
τὸ τυχθὲν ἐκπρίωμαι;
ὁ δ' εἶπε δωριάζων,
λάβ' αὐτὸν ὁππόσου λῇς·
ὅπως δ' ἂν ἐκμάθῃς πᾶν,

Epigr. 151. Anth. Pal. XIII 20: ab eadem m. *Σιμωνίδου. ἐπὶ ἑξαμέτρῳ ἐναλλὰξ τότε κωμικὸ τετράμετρὸ δύο συλλαβαῖς λεῖπὸ καὶ τὸ ἄρ λοχεῖ σκάζον τρίμετρὸ.* — V. 1. *Ὦπις* scripsi, cod. *ωπις,* Iacobs *Ὦλπις,* Schneidewin *Ὦλπις.* — *Ἀθάνας* Schneidewin, *αθανᾶς* cod., idem *ἱερὰν* pro *ἱερὴν* scripsit. — V. 2. Hartung *τέκνον Μελαίνης καὶ Χάρητος, αὐλούς.* Ac sane *χαρίεντας* numero versus adversatur: scholiasta videtur versum syllaba auctiorem legisse, velut *χαριτόεντας,* at iustus restituitur numerus, si *τέκνον μέλαν γῆς χαριτόεντας αὐλοὺς* scripseris, sed nescio an potius scribendum sit:

Πατρίδα κυδαίνων ἱερὴν πόλιν Ὠπίας Ἀθάνας,
τέκνον μελαίνης γῆς, Χάρισσιν αὐλούς
τούςδε σὺν Ἡφαίστῳ τελέσας ἀνέθηκε κἀφροδίτῃ,
καλοῦ δαμασθεὶς ἱμέρῳ Βρύσωνος.

Χάρισσιν etiam Pindarus adhibuit Nem. IV 54.

Epigr. 152. Paus. VI 9, 9.: *Παρὰ δὲ τοῦ Γέλωνος τὸ ἅρμα ἀνάκειται Φίλων, τέχνη τοῦ Αἰγινήτου Γλαυκίου· τούτῳ τῷ Φίλωνι Σιμω-*

153. [211.]

Ἴσθμια καὶ Πυθοῖ Διοφῶν ὁ Φίλωνος ἐνίκα
ἅλμα, ποδωκείην, δίσκον, ἄκοντα, πάλην.

154. [212.] 919

Εἰπὸν τίς, τίνος ἐσσί, τίνος πατρίδος, τί δ' ἐνίκης;
Κασμύλος, Εὐαγόρου, Πύθια πύξ, Ῥόδιος.

155. [213.]

Ἄνθηκεν τόδ' ἄγαλμα Κορίνθιος ὅσπερ ἐνίκα
ἐν Δελφοῖς ποτε Νικολάδας,
καὶ Παναθηναίοις στεφάνους λάβε πέντ' ἐπ' ἀέθλοις
ἑξῆς, ἀμφιφορεῖς ἐλαίου·
Ἰσθμῷ δ' ἐν ζαθέᾳ τρὶς ἐπισχερώ, οὐδ' ἐγένοντο
ἀκτίνων τομίδων ποταθμοί·
καὶ Νεμέᾳ τρὶς ἐνίκησεν, καὶ τετράκις ἄλλα
Πελλάνᾳ, δύο δ' ἐν Λυκαίῳ,
καὶ Τεγέᾳ καὶ ἐν Αἰγίνᾳ κρατερᾷ τ' Ἐπιδαύρῳ,
καὶ Θήβᾳ Μεγάρων τε δάμῳ·
ἐν δὲ Φλιοῦντι σταδίῳ τά τε πέντε κρατήσας
ηὔφρανεν μεγάλαν Κόρινθον.

156. [214.]

Μίλωνος τόδ' ἄγαλμα καλοῦ καλόν, ὃς ποτὶ Πίσῃ
ἑπτάκι νικήσας ἐς γόνατ' οὐκ ἔπεσεν.

νίδης ὁ Λεωπρεποῦς ἐλεγεῖον δεξιώτατον ἐποίησε· Πατρὶς κτλ. — V. 2. *νικῶ* Sylburg et sic CSBPcdVbAgLa, *νικᾷ* LbMVa, vulgo *νίκη*, unde olim *νίκην* conieci.

Epigr. 153. Anth. Plan. 3: *τοῦ αὐτοῦ* (*Σιμωνίδου*).

Epigr. 154. Anth. Plan. 23: *Σιμωνίδου.* — V. 1. *εἰπὸν*, Ursinus *εἶπον.* — *τί δ' ἐνίκης* scripsi, vulgo *τί δὲ νικῇς*, Ursinus *νικᾷς.* — V. 2. *Κασμύλος* Iacobs, vulgo *Κάσμυλος.*

Epigr. 155. Anth. Pal. XIII 19, ab eadem m. *Σιμωνίδου. ἐπὶ ἑξαμέτρ̣ ἐννεασύλλαβ'.* — V. 1. *ἐνίκα*, cod. P *ἐννίκαι.* — V. 2. *ποτε*, Schneidewin *ποκα.* — *Νικολάδας* Schneidewin, v. *Νικολάδας.* — V. 3. P *ἐπαέθλοις.* — V. 4. *ἑξῆς* Salmasius, cod. P *ἑξήκοντα.* Sed dubito de hac coniectura, nam tum *πέντε* ad numerum victoriarum referendum est, ut iam *ἐπ' ἀέθλοις* langueat. Itaque conieci *ἓξ ἠδ' ἀμφιφορεῖς*, atque etiam si *ἑξῆς* probaveris, praestet *ἀμφιφορεῖς τ' ἐλαίου.* — V. 5. *ζαθέᾳ* (cod. P *ἐγζαθέαι*), Brunck *ζαθέῳ.* — V. 5 et 6 nondum persanati, Iacobs coniecit *ἄλλ' ἐγένοντο ἀκτῇ Ποντομέδοντος ἆθλα*, Pflugk *οἶδεν ἑλόντα* (Meineke *οἶδ' ἀνέλοντα*) *Ἀκτὰ Ποντομέδοντος ἆθλα*, itaque Schneidewin. — V. 7. *ἐνίκησεν*, *ἐνίκασεν* Schneidewin. — *ἄλλα*, fort. *ἄλλας* (*νίκας*). — V. 9. *Τεγέᾳ* Brunck, cod. *Νεμέαι*, nisi supra v. 7 mutare velis. — *κρατερᾷ τ'*, Iacobs *κρατερᾷ δ'.* — V. 11. *Φλιοῦντι*, Reiske *Φλιουντείῳ.* — *σταδίῳ*, Hermann *στάδιον.*

Epigr. 156. Anth. Plan. 24: *τοῦ αὐτοῦ* (*Σιμωνίδου*). — V. 1. *ποτὶ* Schneidewin, vulgo *ποτε.* — V. 2. *ἑπτάκι*, Ald. *ἑπτά*, videtur *ἑξάκι* potius scribendum.

157. [215.]

Ἀρτέμιδος τόδ' ἄγαλμα — διηκόσιαι γὰρ ὁ μισθὸς
δραχμαὶ ταὶ Πάριαι, τῶν ἐπίσημα τράγος· —
ἀσκητῶς ἐποίησεν Ἀθηναίης παλάμῃσιν
Ἄξιος Ἀρκεσίλας υἱὸς Ἀριστοδίκου.

158. [216.]

Κρὴς Ἄλκων Διδύμου Φοίβῳ στέφος Ἴσθμι' ἑλὼν πύξ.

159. [217.]

Τόνδ' ἀνέθηχ' Ἑρμῆν Δημήτριος, ὄρθια δ' οὐχί,
ἐν προθύροις.

160. [218.]

Γράψε Πολύγνωτος, Θάσιος γένος, Ἀγλαοφῶντος
υἱὸς περθομέναν Ἰλίου ἀκρόπολιν.

Epigr. 157. Diogen. Laert. IV 45: *Γεγόνασι καὶ ἄλλοι τρεῖς Ἀρκεσίλαοι, . . . ἕτερος ἀγαλματοποιός, εἰς ὃν καὶ Σιμωνίδης ἐποίησεν ἐπίγραμμα τουτί· Ἀρτέμιδος κτλ.* Eadem Arsen. 119. — V. 1. *γὰρ* Diog. et Arsen., Menagius *δ' ἄρ'*, Hartung *διηκόσιαι δ' ἄρα μισθὸς δραχμαὶ ἔσαν Πάριαι.* — V. 2. *ταί*, possis *καί* coniicere, Arsen. *τοι*, Schneidewin coni. *δραχμαῖαι.* — *τῶν*, Arsen. *τῶνδ'.* — *ἐπίσημα τράγος* Heyne, legebatur *ἐπίσημ' Ἄρατος.* — V. 3. *ἀσκητῶς ἐποίησεν* scripsi, Diog. *ἀσκητὸς δ' ἐπ.*, Arsen. *ἀσκητὸς ποίησεν.* Postquam lenissima mutatione utrumque distichon arcta necessitudine quae desiderabatur vinxi et commodam recuperavi sententiam, Benndorf rursus tuetur *ἀσκητὸς* idque cum verbis *Ἀθηναίης παλάμῃσι* iungit, nihil curans neque Graeci sermonis usum neque totius poematii institutum. — V. 4. *Ἄξιος* scripsi, ut Oaxo oriundus fuerit Arcesilas, vulgo *ἄξιος*, Hartung *ἄξιον*, M. Schmidt *Νάξιος.* — *Ἀρκεσίλας*, cod. Mon. Ars. *Ἀρκεσίλαος.* — *Ἀριστοδίκου*, Ars. *Ἀριστοδήμου.*

Epigr. 158. Codex Pal. post indicem (Iacobs Anth. P. Vol. III p. 5) ab ead. m. *Σιμωνίδου* (codex Cï μ̃). — *Διδύμου* scripsi, *Διδύμοις* Welcker, *Διδυμεῖ* Schneidewin, cod. *διδ*. . .

Epigr. 159. Trypho in Boisson. Anecd. T. III p. 274: *Ἔνιοι καὶ ἐν ταῖς συλλαβαῖς ὑπερβατὰ πεποιήκασιν, ὡς καὶ Σιμωνίδης ἐν ἐπιγράμμασι· Ἑρμῆν τόνδε ἀνέθηκε Δημ. ὄρθια δ' οὐκ ἐν προθύροις, ἀντὶ τοῦ οὐκ ὄρθια δέ.* Correxi haec, ut potui, et *οὐχὶ* iam Schneidewin scripsit: sed restitutio incerta, nam fortasse verborum ordo non immutandus, ut nomen *Δημήτριος* vitium contraxerit. Post *ὄρθια δ' οὐχὶ* videntur nonnulla omissa esse, ut *ἐν προθύροις* pentametri sit finis: cf. Xenocratis epigr. Anth. Plan. 186: *Ἑρμῆς ὠκὺς ἐγὼ κικλήσκομαι, ἀλλὰ παλαίστρῃ μὴ κολοβὸν χειρῶν ἵστατε μηδ' ἄποδα· ἢ πῶς ὠκὺς ἐγώ; πῶς δ' ὄρθια χειρονομήσω, ἐς βάσιν ἀμφοτέρων ὀρφανὸς ἱστάμενος;* Hartung scripsit *Ἑρμῆν τόνδ' ἀνέθηκεν Ἀμήστριος, ὠρθίασεν δ' οὐκ, ἐν προθύροις.*

Epigr. 160. Pausan. X 27, 4: *Κατὰ τοῦτο τῆς γραφῆς καὶ ἐλεγεῖόν ἐστι τοῦ Σιμωνίδου· Γράψε κτλ.* Idem exstat Anth. Pal. IX 700 ab ead. m. *σιμωνίδου* (ubi cod. P. v. 1 *γράψεν Ἀρίγνωτος* et v. 2 *ἡλίου*) et Plut. de orac. def. c. 47. Schol. Plat. Gorg. p. 338 ed. Bekk. Respicit Philostr. Vit. Apoll. VI 11. Phot. p. 80, 16. Arsen. 291 et Hesych. v. *Θάσιος παῖς Ἀγλαοφῶντος.* — V. 2. *περθομέναν* Plutarch., *περθομένην* reliqui.

161. [219.]

Κίμων ἔγραψε τὴν θύραν τὴν δεξιάν·
τὴν δ' ἐξιόντων δεξιὰν Διονύσιος.

162. [221.]

Ἰφίων τόδ' ἔγραψε Κορίνθιος· οὐκ ἔνι μῶμος
χερσίν, ἐπεὶ δόξας ἔργα πολὺ προφέρει.

163. [223.] 921

Πρόσθε μὲν ἀμφ' ὤμοισιν ἔχων τραχεῖαν ἄσιλλαν
ἰχθῦς ἐξ Ἄργους ἐς Τεγέαν ἔφερον.

164.

Εὔχεό τοι δώροισι, Κύτων, θεὸν ὧδε χαρῆναι
Λητοΐδην ἀγορῆς καλλιχόρου πρύτανιν,
ὥσπερ ὑπὸ ξείνων τε καὶ οἳ ναίουσι Κόρινθον
αἶνον ἔχεις Χαρίτων, δέσποτα, τοῖς στεφάνοις.

Epigr. 161. Anth. Pal. IX 758: ab eadem manu *Εἰς θύρας· τοῦ αὐτοῦ*. sed praecedens epigramma, cum lemma sit mutilum, poetae nomine caret; verum *Simonidis* esse Planudes docet. — V. 1. *Κίμων*, O. Iahn de Polygnoto p. 68 *Μίκων* scribendum censet, improbante Brunnio hist. Artif. II 9. Pertinet fortasse hoc epigramma ad idem templum, ad quod Ep. 162, ut Iphion et Cimon in eadem aede ornanda occupati fuerint.

Epigr. 162. Anth. Pal. IX 757. *εἰς* . . . nomen poetae excidit, sed *Simonidi* tribuit Planudes. — V. 1. *τόδ'*, Benndorf *τάδ'* requirit. — *ἔνι*, malim *ἔπι*.

Epigr. 163. Aristot. Rhet. I 7: *ὅθεν καὶ τὸ ἐπίγραμμα τῷ Ὀλυμπιονίκῃ· Πρόσθε κτλ.* Et v. 1 ibid. legitur I 9: *καὶ τὸ τοῦ ὀλυμπιονίκου· πρόσθε . . . τραχεῖαν. καὶ τὸ τοῦ Σιμωνίδου*, sequitur Epigr. 111, 3, ut appareat Aristoteli auctorem vel prorsus ignotum vel alium fuisse: Simonidi tamen tribuit Aristophanes ap. Eustath. 1761, 25: *Ὁ δὲ τὸν σάνναν τοῦτον παρασημηνάμενος Ἀριστοφάνης ὁ γραμματικὸς καὶ ἄλλας ἐκτίθεται καινοφώνους λέξεις, οἷον ἄσιλλαν, σκεῦός τι ἰχθυηρόν, οὗ χρῆσις παρὰ Σιμωνίδῃ ἐν τῷ· Πρόσθε κτλ.* — V. 1. *ἄσιλλαν*, Zb *ἄσελλαν*. — V. 2. *Τεγέαν*, Qb *Τέγαιαν*, Eust. *Τεγέην* et *ἔφερε*. Apparet epigramma imperfectum esse, Victorius in codd. dicit se reperisse versum tertium: *Νῦν δὲ κράτος φέρομεν μέγα* (Schneidewin *μετὰ*) *πᾶσιν ὀλυμπιονῖκαι.*

Epigr. 164. Anthol. Pal. VI 212: ab eadem m. *ἀνάθημα Σιμωνίδου*. Schneidewin iniuria in suspicionem vocat. — V. 1. *τοι*, Salmasius *τοῖς*, fort. *σοῖς*. — V. 3. *οἳ* Brunck, cod. *οἱ* et *Κόρυνθον*. — V. 4. Iacobs coni. *αἷσι πάτραν στεφανοῖς*. Simplicissimum fuerit: *αἶνον ἔχεις· ἱαρῶν, δέσποτα, τοῖς στεφάνοις*, ut ipse deus invocetur, sed videtur aliud latere, fort. *αἶνον ἔχεις, Χαρίτων δ' ἕσπετ' ὄπις στεφάνοις*, Hartung *Χαρίτων δέσμασι τοὺς στεφανοῖς*, Heckèr *αἶνον ἔχεις, Χαρίτων μεστοτάτοις στεφάνοις.*

165.

Σῶσος καὶ Σωσὼ σωτήρια τόνδ' ἀνέθηκαν,
Σῶσος μὲν σωθείς, Σωσὼ δ' ὅτι Σῶσος ἐσώθη.

166. [225.]

Ἦν ἑκατὸν φιάλαι δίχα σφίσιν.

167. [226.]

Schol. Pind. Nem. VII 1: *Ἀριστόδημος δὲ ὁ Ἀριστάρχου μαθη-*
τὴς βέλτιον οὕτω φησίν· ὀψέ ποτε τῷ Θεαρίωνι καὶ παρὰ τὴν ἡλι-
κίαν προήκοντι εὐξαμένῳ τῇ θεῷ Σωγένη τεκνωθῆναι., καὶ τὴν τοῦ
παιδὸς αὐτοῦ γέννησιν οἷον Ἐλλειθυίας εἶναι χάριν· διὰ τὴν ἰδιότητα
γοῦν τῆς γενέσεως τοῦ ἀθλητοῦ πρὸς τὴν θεὸν ταύτην ἐπήρεισε τὸν 922
λόγον· ἐπιστοῦτο δὲ τοῦτο ἐξ ἐπιγράμματος (ed. Rom. *ὑπογράμματος*)
Σιμωνίδου.

(Π Α Ι Γ Ν Ι Α.)

168. [227.]

Τῇ ῥά ποτ' Οὐλύμποιο περὶ πλευρὰς ἐκάλυψεν
ὠκὺς ἀπὸ Θρῄκης ὀρνύμενος Βορέης,
ἀνδρῶν δ' ἀχλαίνων ἔδακε φρένας, αὐτὰρ ἐθάφθη
ζωή, Πιερίην γῆν ἐπιεσσαμένη,
ἔν τις ἐμοὶ καὶ τῆς χεέτω μέρος· οὐ γὰρ ἔοικεν
θερμὴν βαστάζειν ἀνδρὶ φίλῳ πρόποσιν.

169. [186.]

Πολλὰ πιὼν καὶ πολλὰ φαγὼν καὶ πολλὰ κάκ' εἰπὼν
ἀνθρώπους κεῖμαι Τιμοκρέων Ῥόδιος.

Epigr. 165. Anth. P VI 216: omnia ab eadem m. *ἀνάθημα τῷ Διῒ παρὰ Σώσου καὶ Σωσοῦς.* et in marg. *τοῦ αὐτοῦ.* Abiudicavit Schneidewin Simonidi, sed insertum est genuinis epigrammatis, neque talis lusus indignus hoc poeta. — V. 1. *σωτήρια* nescio quis coniecit, Reiske *Σωτείρῃ*, cod. P *σωτῆρι.* — V. 2. *Σωσώ*, P a pr. m. *σωσῶι.*

Epigr. 166. Herod. *περὶ μον. λεξ.* 45, 2: *Καὶ πληθυντικῶς Σιμωνίδης ἐπὶ πρώτου προσώπου, ὡς καὶ ἐν τοῖς ἐπιγράμμασιν· ἦν . . . σφίσιν, ἀντὶ γὰρ τοῦ ἦμεν ἦν.* — *δίχα σφίσιν* corruptum expedire nequeo; Lehrs coni. *δίχα δέ σφισιν* (*ἥνδανε βουλή, Ἀνδράσιν Ἑλλήνων*). Hartung *δίχα δ' ἡμῖν πάντα δέδαστο, Νῦν δέ . . .*

Epigr. 168. Athen. III 125 C: *Καλλίστρατος ἐν ἑβδόμῳ συμμίκτων φησίν, ὡς ἑστιώμενος παρά τισι Σ ι μ ω ν ί δ η ς ὁ ποιητὴς κραταιοῦ καύματος ὥρᾳ καὶ τῶν οἰνοχόων τοῖς ἄλλοις μισγόντων εἰς τὸ ποτὸν χιόνος, αὐτῷ δὲ οὔ, ἀ π ε σ χ ε δ ί α σ ε τ ό δ ε τ ὸ ἐ π ί γ ρ α μ μ α· Τήν ῥά ποτ' κτλ.* — V. 1. *τῇ* Casaubonus, libri *τήν.* — V. 2. *ὠκύς, ὀξὺς* Valckenaer. — V. 3. *ἐθάφθη* Porson, vulgo *ἐκάμφθη.* — V. 5. *ἔν τις* Schweighaeuser, *εν τϊς* B, *ἕν τις* PVL. — *ἐμοὶ καὶ τῆς χεέτω* AC, *ἐμοι κατησχεέτω* B, *ἔμοιγ' αὐτῆς χεέτω* VL. — *ἔοικεν, ἔοικες* BP, unde *ἐοικός* possis coniicere.

Epigr. 169. Athen. X 415 F: *Καὶ Τιμοκρέων δ' ὁ Ῥόδιος ποιητὴς*

170. [288.]

Οὐδὲ γὰρ οὐδ' εὐρύς περ ἐὼν ἐξίκετο δεῦρο.

171. [229.]

Μοῦσά μοι Ἀλκμήνης καλλισφύρου υἱὸν ἄειδε·
υἱὸν Ἀλκμήνης ἄειδε Μοῦσά μοι καλλισφύρου.

172. [230.] 923

Μιξονόμου τε πατὴρ ἐρίφου καὶ σχέτλιος ἰχθὺς
πλησίον ἠρείσαντο καρήατα· παῖδα δὲ νυκτὸς
δεξάμενοι βλεφάροισι, Διωνύσοιο ἄνακτος
βουφόνον οὐκ ἐθέλουσι τιθηνεῖσθαι θεράποντα.

173. [231.]

Φημὶ τὸν οὐκ ἐθέλοντα φέρειν τέττιγος ἄεθλον
τῷ Πανοπηϊάδῃ δώσειν μέγα δεῖπνον Ἐπειῷ.

καὶ ἀθλητὴς πένταθλος ἐνέφαγε καὶ ἔπιεν, ὡς τὸ ἐπὶ τοῦ τάφου αὐτοῦ ἐπίγραμμα δηλοῖ· Πολλὰ κτλ. Simonidis esse docet Anth. Pal. VII 348: a pr. m. εἰς Τιμοκρέοντα τὸν Ῥόδιον, οὕτινα τὴν γνώμην πᾶσαν καὶ ὲ συν4δ εἶχεν ὁ θεῖός μου. et in marg. a m. s. Σιμωνίδου. cf. Iriarte 95. — V. 1. Plan. πολλὰ φαγὼν καὶ πολλὰ πιὼν. — V. 2. ἀνθρώπους, cod. Pal. ἀνθρώποις.

Epigr. 170. Athen. XIV 656 C: Περὶ δὲ λαγῶν Χαμαιλέων φησὶν ἐν τῷ περὶ Σιμωνίδου, ὡς δειπνῶν παρὰ τῷ Ἱέρωνι ὁ Σιμωνίδης οὐ παρατεθέντος αὐτῷ ἐπὶ τὴν τράπεζαν, καθάπερ καὶ τοῖς ἄλλοις λαγωοῦ, ἀλλ' ὕστερον μεταδιδόντος τοῦ Ἱέρωνος, ἀπεσχεδίασεν· Οὐδὲ κτλ. unde affert Eust. Od. 1821, 37. Cf. Il. ξ 33. Non intellexit leporem M. Schmidt, qui αὐρός περ i. e. *lepus* coniecit.

Epigr. 171. Anth. Pal. XIII 30. Σιμωνίδου. ς' μετρο καὶ ουτο τροχαῖον πεντάμετρο κατα μεθέσιν τῆς λέξεως. — V. 1 et 2. καλλισφύρου vulgo, sed cod. Pal. καλλίσφυρον.

Epigr. 172. Athen. X 456 C: Γριφώδη δ' ἐστὶ καὶ Σιμωνίδῃ ταῦτα πεποιημένα, ὥς φησι Χαμαιλέων ὁ Ἡρακλεώτης ἐν τῷ περὶ Σιμωνίδου· Μιξ. κτλ. φασὶ δὲ οἱ μὲν ἐπί τινος τῶν ἀρχαίων ἀναθημάτων ἐν Χαλκίδι τοῦτ' ἐπιγεγράφθαι, πεποιῆσθαι δ' ἐν αὐτῷ τράγον καὶ δελφῖνα, περὶ ὧν εἶναι τὸν λόγον τοῦτον. Οἱ δὲ εἰς ἐπιτόνιον ψαλτήριον δελφῖνα καὶ τράγον εἰργασμένον εἰρῆσθαι, καὶ εἶναι τὸν βουφόνον καὶ τὸν Διονύσου θεράποντα τὸν διθύραμβον. οἱ δέ φασιν, ἐν Ἰουλίδι τὸν τῷ Διονύσῳ θυόμενον βοῦν ὑπό τινος τῶν νεανίσκων παίεσθαι πελέκει· πλησίον δὲ τῆς ἑορτῆς οὔσης εἰς χαλκεῖον δοθῆναι τὸν πέλεκυν· τὸν οὖν Σιμωνίδην ἔτι νέον ὄντα βαδίσαι πρὸς τὸν χαλκέα κομιούμενον αὐτόν· ἰδόντα δὲ καὶ τὸν τεχνίτην κοιμώμενον καὶ τὸν ἀσκὸν καὶ τὸν καρκίνον εἰκῆ κείμενον καὶ ἐπαλλήλως ἔχοντα τὰ ἔμπροσθεν, οὕτως ἐλθόντα εἰπεῖν πρὸς τοὺς συνήθεις τὸ προειρημένον πρόβλημα· τὸν μὲν γὰρ τοῦ ἐρίφου πατέρα τὸν ἀσκὸν εἶναι· σχέτλιον δὲ ἰχθὺν τὸν καρκίνον· νυκτὸς δὲ παῖδα τὸν ὕπνον· βουφόνον δὲ καὶ Διονύσου θεράποντα τὸν πέλεκυν. — V. 1. πατὴρ, PVL πατήρ τ'. — V. 2. ἠρείσαντο ABC, ἠρίσαντο PVL. — V. 3. Διωνύσοιο L, διονύσοι PV.

Epigr. 173. Athen. X 456 E: Πεποίηκε δὲ καὶ ἕτερον ὁ Σιμωνίδης ἐπίγραμμα, ὃ παρέχει τοῖς ἀπείροις τῆς ἱστορίας ἀπορίαν·

174. [224.]

*Φοῖβος ἐσαγεῖται * Τυνδαρίδῃσιν ἀοίδησαν*
ἄμετροι τέττιγες ἐπεστέψαντο χορωνῷ.

175. [156.]

Οὐκ ἔστιν μείζων βάσανος χρόνου οὐδενὸς ἔργου,
ὃς καὶ ὑπὸ στέρνοις ἀνδρὸς ἔδειξε νόον.

Φημὶ κτλ. Λέγεται δὲ ἐν τῇ Καρθαίᾳ διατρίβοντα αὐτὸν διδάσκειν τοὺς χορούς· εἶναι δὲ τὸ χορηγεῖον ἄνω πρὸς Ἀπόλλλωνος ἱερῷ οὐ μακρὰν τῆς θαλάσσης· ὑδρεύεσθαι οὖν καὶ τοὺς ἄλλους καὶ τοὺς περὶ τὸν Σιμωνίδην κάτωθεν, ἔνθα ἦν ἡ κρήνη· ἀνακομίζοντος δ' αὐτοῖς τὸ ὕδωρ ὄνου, ὃν ἐκάλουν Ἐπειὸν διὰ τὸ μυθολογεῖσθαι τοῦτο δρᾶν ἐκεῖνον καὶ ἀναγεγράφθαι ἐν τῷ τοῦ Ἀπόλλωνος ἱερῷ τὸν Τρωϊκὸν μῦθον, ἐν ᾧ ὁ Ἐπειὸς ὑδροφορεῖ τοῖς Ἀτρείδαις, ὡς καὶ Στησίχορός φησι· … ὑπαρχόντων οὖν τούτων ταχθῆναί φασι τῷ μὴ παραγενομένῳ τῶν χορευτῶν εἰς τὴν ὡρισμένην ὥραν παρέχειν τῷ ὄνῳ χοίνικα κριθῶν. Τοῦτο οὖν κἂν τῷ ποιητῇ λέγεσθαι· καὶ εἶναι τὸν μὲν οὐ φέροντα τὸ τοῦ τέττιγος ἄεθλον τὸν οὐκ ἐθέλοντα ᾄδειν· Πανοπηϊάδην (Il. ψ 665) *δὲ τὸν ὄνον· μέγα δεῖπνον τὴν χοίνικα τῶν κριθῶν.* Cf. Schol. Il. ψ 665: *ἐλεήσασα δὲ ἡ Ἀθηνᾶ ἐν τοῖς χορευταῖς φησὶ τὸν οὐκ ἐθέλοντα φέρειν τέττιγος ἄεθλον ἀντὶ τοῦ ὃς νίκην μοι περιποιῆσαι, τῷ Πανοπῆϊ δηλῶς μετὰ δεῖπνον Ἐπειῷ ζημίαν.* Eust. 1323, 60 et 1606, 60. Affert etiam Io. Sicel. Walz. Rhet. T. VI p. 200 (ubi v. 2 *μετὰ δεῖπνον δώσειν ἐπ' ἠῶ* legitur, quod ille explicat, sed memorat idem lectionem *Ἐπειῷ*), et VII p. 949 (ubi v. 1 *τίν' οὐκ*, sed Mon. *τίνας οὐκ ἐθέλοντας*, Par. 2 *τίνες οὐκ ἐθέλοντες*, deinde v. 2 Mon. Par. 1, 2 *μετὰ δεῖπνον ἐπ' ἠῶ*).

Epigr. 174. Athen. XV 680 D: *Χορωνόν. Ἀπίων ἐν τῷ περὶ τῆς Ῥωμαϊκῆς διαλέκτου φησὶ τὸν στέφανον πάλαι χορωνὸν καλούμενον, ἀπὸ τοῦ τοὺς χορευτὰς ἐν τοῖς θεάτροις αὐτῷ χρῆσθαι, αὐτούς τε περικειμένους καὶ ἐπὶ τὸν στέφανον ἀγωνιζομένους, καθὼς ἐν τοῖς Σιμωνίδου ἐπιγράμμασιν ἰδεῖν ἔστιν, οὕτως* (ita A, vulgo *οὕτω*) *καλούμενον* (ita Pursanus, v. *καλουμένου*)· *Φοῖβος κτλ.* — V. 1. *ἐσαγεῖται*, Stephanus et Ursinus *ἐσάγηται.* — *ἀοίδησαν* Cant. L. — V. 2. *ἐπεστέψαντο* A, *ἐπέμψαντο* Cant. L. Schweighaeuser coni. *ἀοιδῆς, ἄν*, Schneidewin *ἐσάγηταί ποτε Τυνδαρίδαισιν ἀοιδάς, τᾶν κτλ.*, Hartung *Φοῖβος ὅθ' ἀγεῖτο ξὺν Πιερίδεσσιν ἀοιδᾶς ἁμέτεροι κτλ.*, Hecker *Φοῖβος ἐσαγεῖται Τυνδαρίδαισι χορόν, σὺν δ' ἄμετροι τ. ἐπ. χορωνόν.* Mihi *ἀοίδησαν* ex dittographia (*ἀοιδης* et *ἀοιδαν*) ortum esse videtur. Fort. *Φοῖβος ὅθ' ἀγεῖται τοῖς Τυνδαρίδαισαιν ἀοιδᾶν, Ἁμέτεροι τέττιγες.* Retuli inter *Παίγνια.*

Epigr. 175. Stob. Ecl. Phys. I 8, 15 sine lemmate legitur hoc distichon, sed Ursinus ex codice adnotavit *Simonidi* adscriptum esse *ἐκ τῶν ἐπιγραμμάτων.* Qui praecessit versus trimeter *Σοφὸν λέγουσι τὸν χρόνον πεφυκέναι* lemma *Λακώνων* (A *λακόνων*) exhibet, Gaisford Cratino vel Eupolidi tribuit, Sophocli Meineke *Λαοκόωντι* coniiciens, ego *Λακαινῶν* malim, ut item Sophoclis tragoedia intelligatur. — V. 1. *οὐδενός* VAEH, legebatur *οὐδέν.*

176. [66.]

. . . Ὅ τοι χρόνος ὀξὺς ὀδόντας
πάντα καταψήχει καὶ τὰ βιαιότατα.

177.

Χρυσῷ δ' αἰγλήεντι συνήρμοσεν ἀμφιδασείας 924
κόρσας καὶ στόμα λαβρὸν ὀπισθοδέτοισιν ἱμᾶσιν.

EPIGRAMMATA FALSO SIMONIDI TRIBUTA.

178.

Βοίδιον ηὐλητρὶς καὶ Πυθιὰς αἵ ποτ' ἐρασταί
σοὶ Κύπρι τὰς ζώνας τάς τε γραφὰς ἔθεσαν·
ἔμπορε καὶ φορτηγέ, τὸ σὸν βαλλάντιον οἶδεν
καὶ πόθεν αἱ ζῶναι καὶ πόθεν αἱ πίνακες.

179.

Χειμερίην νιφετοῖο κατήλυσιν ἡνίκ' ἀλύξας

Epigr. 176. Stob. Ecl. Phys. I 8, 22: *Σιμωνίδου ἐπιγραμμάτων· ὅτι χρόνος κτλ.* — V. 1. *ὅ τοι* scripsi, *ὅτι* A, *οὗτοι* Canter, *οὕτω* Grotius. — V. 2. *πάντα καταψήχει* scripsi, et similiter Sintenis, vulgo *καὶ πάντα ψύχη*, sed AV *ψύχει*, Grotius *σμύχει*, Pierson *ψήχει*. — *βιαιότατα* AV, vulgo *βιότατα* et sic H, Pierson *βεβαιότατα*.

Epigr. 177. Plut. de cohib. ira c. 6: *καὶ ὁ Μαρσύας ὡς ἔοικε φορβειᾷ τινι καὶ περιστομίοις βίᾳ τοῦ πνεύματος τὸ ῥαγδαῖον ἐγκαθεῖρξε, καὶ τοῦ προσώπου κατεκόσμησε καὶ ἀπέκρυψε τὴν ἀνωμαλίαν· Χρυσῷ δ' κτλ.* Simonidi tribuit Tzetz. Chil. I 372: *τὴν δ' ἔριν ταύτην πού φησιν ᾄσματι Σιμωνίδης· χρυσῷ δ' κτλ.* Quamquam dubium est, an sit lyrici fragmentum, certe non est iuniori alicui Simonidi tribuendum. Schneidewin *Simmiae* vindicare vult, ego aliquando ex dramate satyrico petitum esse conieci. — V. 1. *συνήρμοσεν*, Tzetz. *προσήρμοσεν*. — *ἀμφιδασείας*, vulgo *ἀμφὶ δασείας*, quod etiam Dübner correxit.

Epigr. 178. Anth. Pal. V 159: m. pr. *Σιμω* m. s. *νίδου*, (*Σιμωνίδου* codex ap. Iriarte Catal. Matrit. p. 94) m. s. *εἰς βοίδιον τὴν αὐλητρίδα*. *Simonidi* omnino abiudicandum (quamquam Hecker II 104 adversatur), est ut opinor *Asclepiadis* epigramma, vid. Asclepiad. V 161 (quod quidem epigramma etiam Hedylo et Simonidi tribuitur): *Εὐφρὼ καὶ Θαῖς καὶ Βοίδιον αἱ Διομήδους γραῖαι.* et V 164: *οἷά μ' ὑβρίζει Πυθιὰς ἡ Νικοῦς οὖσα φιλεξαπάτις* (ita enim corrigendum sive *φιλεξαπάτης* malis). — V. 1. *ηὐλητρὶς*, Plan. *αὐλητρὶς*. — V. 3. *βαλλάντιον*, Plan. *βαλάντιον*.

Epigr. 179. Anthol. P. VI 217: m. pr. *ἀνάθημα τοῦ αὐτοῦ·* m. s. *ἐπὶ γάλλῳ λάτριδι τῆς κυβέλης*. Quae praecedunt epigrammata omnia, etiam 216, *Simonidis* sunt, sed hoc manifesto ei abiudicandum, ut Iacobs quoque censuit. Nihil probat Phot. p. 183, 1: *Κύβηβον. Κρατῖνος Θρᾴτταις τὸν θεοφόρητον· Ἴωνες δὲ τὸν μητραγύρτην καὶ γάλλον νῦν καλούμενον· οὕτως Σιμωνίδης* — nam Simonidis testimonium ad *Κύβηβον* pertinet. Est autem opinor *Leonidae* Tarentini, in eodemque argumento illustrando versantur proxima Alcaei, Antipatri, Dioscoridae 318, 19. 20, ut alias quoque certatim in eadem materia versantur, neque

Γάλλος ἐρημαίην ἤλυθ' ὑπὸ σπιλάδα, 925
ὑετὸν ἄρτι κόμης ἀπομόρξατο· τοῦ δὲ κατ' ἴχνος
βουφάγος εἰς κοίλην ἀτραπὸν ἵκτο λέων·
αυτὰρ ὁ πεπταμένῃ μέγα τύμπανον ὃ σχέθε χειρὶ
ἤραξεν, καναχῇ δ' ἴαχεν ἄντρον ἅπαν·
οὐδ' ἔτλη Κυβέλης ἱερὸν βρόμον ὑλονόμος θήρ
μεῖναι, ἀν' ὑλῆεν δ' ὠκὺς ἔθυνεν ὄρος,
δείσας ἡμιγύναικα θεῆς λάτριν, ὃς τάδε Ῥείᾳ
ἔνδυτα καὶ ξανθοὺς ἐκρέμασε πλοκάμους.

180.

Ἐσβέσθης γηραιὲ Σοφόκλεες, ἄνθος ἀοιδῶν,
οἰνωπὸν Βάκχου βότρυν ἐρεπτόμενος.

181.

Βωμοὺς τούσδε θεοῖς Σοφοκλῆς ἱδρύσατο πρῶτος,
ὃς πλεῖστον Μούσης εἷλε κλέος τραγικῆς.

illud obstat, quod 321 aliud Leonidae epigramma similem fabellam prodit. Celebrem hanc chriam tangit etiam Varro in Saturis ap. Nonium v. *Mansuete*: „Non vidisti simulacrum leonis ad Idam e (scr. *eo*) loco, ubi quondam subito eum cum vidissent quadrupedem Galli tympanis adeo fecerunt mansuem, ut tractarent manibus.“ quae cum alii tum Vahlen de sat. Varron. p. 25 et L. Müller de re metr. Lat. p. 438 perperam in versus redigere conati sunt. — V. 1. 2 affert Suidas v. *κατήλυσιν*, ubi *ἡνίκ' ἀλύξας* om., et deinde exhibet *ἦλθεν*. — V. 3. *ἀπομόρξατο*, P *ἀπ' ἐμόρξατο*. — V. 5. *αὐτὰρ ὁ* Suidas v. *ἤρασσον*, P *αὐτὰρ ὃ*. — *ὃ σχέθε* P in m., vulgo *ἔσχεθε* (ita P ex corr.), Suid. *ἔσχετο* (ita fort. Pal. a pr. m.). — V. 9 et 10 affert Suid. v. *Λάτρις* et partim v. *ὀρεία*. — *τάδε Ῥείᾳ*, P *τάδε ῥείαι* ex corr., Suid. bis *τάδ' ὄρεια* atque ita ut vid. P a m. pr., Brunck *Ῥείῃ*.

Epigr. 180. Anthol. P. VII 20: *εἰς σοφοκλέα Σιμωνίδου*. ita etiam Iriarte p. 95. — V. 2. *ἐρεπτόμενος*, *ἐρεπτόμενοι* Suid. v. *οἰνοψ* (sed V *ἐρεπτόμενος*). — Epigramma hoc vel *Leonidae* est, cuius praecedit epigramma, vel *Simmiae*, cuius duo poematia subsequuntur: cf. ad Simmiae epigr. p. 630. Ceterum hoc epigramma nimis tenue et omni acumine orbatum; videntur post v. 2 plura intercidisse. Ad hanc de Sophoclis morte fabulam puto referendum esse versiculum apud Nonium p. 193: *Pressisque labris unus acinus haerebat*, qui fortasse ex Varronis Imaginibus est petitus.

Epigr. 181. Anth. Pal. VI 145: a pr. m. *ἀνάθημα Σοφοκλέους* a m. s. *ποιητοῦ τῶν τραγῳδιῶν*, tum s. m. in margine *τοῦ αὐτοῦ*, ut putant *Ἀνακρέοντος*, cuius sunt epigrammata, quae praecedunt 134—144, sed post ep. 143 in codice est lacuna, nec probandum, quod in margine a m. s. legitur: *οὐ λείπει, ὡς οἶμαι, οὐδὲ ἐνταῦθα*. nam quod sequitur epigramma 144 *ἀνάθημα τῷ Ἑρμῇ παρὰ Λεωκράτου τοῦ αὐτοῦ*) *Simonidis* est (vid. fr. 150), itaque videtur hoc quoque epigramma 145 Simonidi tributum esse, sed falso; nam apparet facile hoc carmen neque a Simonide neque ab Anacreonte condi potuisse: neque tamen propterea, quod ab his alienum est, Sophocli vindicandum: nam quamvis lectio *πρῶτος* v. 1 satis incerta sit, tamen apertum est, haec post Sophoclis demum mortem scripta esse: videntur hi versus facti esse, cum monumentum a Sophocle olim dedicatum sed vetustate attritum instauratum esset, cf. quae dixi in vita Sophoclis p. XXI. — V. 1. *πρῶτος* P a m. s. in rasura,

182.

Οἵδε τριηκόσιοι, Σπάρτα πατρί, τοῖς συναρίθμοις
Ἰναχίδαις Θυρεᾶν ἀμφὶ μαχεσσάμενοι
αὐχένας οὐ στρέψαντες, ὅπα ποδὸς ἴχνια πρᾶτον 926
ἁρμόσαμεν, ταύτα καὶ λίπομεν βιοτάν.
ἄρσενι δ' Ὀθρυάδαο φόνῳ κεκαλυμμένον ὅπλον
καρύσσει, Θυρέα, Ζεῦ, Λακεδαιμονίων.
αἰ δέ τις Ἀργείων ἔφυγεν μόρον, ἧς ἀπ' Ἀδράστου,
Σπάρτα δ' οὐ τὸ θανεῖν, ἀλλὰ φυγεῖν θάνατος.

183.

Ἡμερὶ πανθέλκτειρα, μεθυτρόφε, μῆτερ ὀπώρας,
οὔλης ἣ σκολιὸν πλέγμα φύεις ἕλικος,
Τηΐου ἡβήσειας Ἀνακρείοντος ἐπ' ἄκρῃ
στήλῃ καὶ λεπτῷ χώματι τοῦδε τάφου·
ὡς ὁ φιλάκρητός τε καὶ οἰνοβαρὴς φιλόκωμος
παννύχιος κρούων τὴν φιλόπαιδα χέλυν,
κἠν χθονὶ πεπτηὼς κεφαλῆς ἐφύπερθε φέροιτο
ἀγλαὸν ὡραίων βότρυν ἀπ' ἀκρεμόνων,

fuisse videtur κόνου vel κόιου. — V. 2. εἶλε, ut Hecker coniecit P corr. a m. pr., antea erat εἶδε, Reiske et Brunck εἶχε.

Epigr. 182. Anth. P. VII 431: a m. s. Ἄδηλον, οἱ δὲ Σιμωνίδου, m. pr. ἐπι τῷ τάφῳ τῶν τριακοσίων Σπαρτιατῶν, τῶν μετὰ Ὀθρυάδου πεσόντων, m. sec. ἐν τῷ πρὸς ἀργείους πολέμῳ ἐπὶ τῇ θυρεάτιδι. in marg. ad v. 6 et 7 a m. s. ταῦτα ἐν τῇ βίβλῳ τοῦ συγγραφέως Θουκυδίδου τρανώτερον. Simonidi recte abiudicat Schneidewin, fort. *Leonidae* est, quem verisimile est celebre hoc argumentum tractavisse. *Dioscoridi* tribuit Hecker (II 103), cuius praecedit carmen. — V. 1. τριηκόσιοι, fort. τριακόσιοι. — συναρίθμοις, Meineke ἰσαρίθμοις. — V. 2. Ἰναχίδαις, P Ἰναχίδας. — Θυρεᾶν scripsi, v. Θυρέαν. vid. Steph. B. v. Θυρέα . . . λέγεται καὶ πληθυντικῶς. et Anth. P. VII 721. — V. 3. ὅπα, Pl. ὅπα. — ἴχνια πρᾶτον Pl., ἴχνος ἄπρατὸν P. et in m. a m. sec. δωρικῶς ἀντὶ τοῦ πρῶτον. — V. 5. κεκαλυμμένον, Schneidewin πεπαλυμμένον, Meineke πεπαλαγμένον. Poeta *conscriptum* dixisse videtur, an forte κεκολαμμένον dixit? — V. 7. αἰ, P αἵ — ἧς, P ἧς.

Epigr. 183. Anth. Pal. VII 24: a m. pr. εἰς αὐ Σιμωνίδου εἰς ἀνακρέοντα τὸν τήϊον ποιητὴν Σιμωνίδου· m. s. ὅτι καὶ αὐτὸς σιμωνίδης τήϊος ἦν· ὅθεν καὶ ἀνακρέων. Cf. Iriarte p. 95. Sed neque hoc neque quod sequitur epigr. *Simonideum* est, quamquam de altero non dubitat Schneidewin, magnis illud laudibus efferens, hoc vero abiudicans. At ab eodem poeta utrumque compositum arbitror, fortasse a *Leonida*: nam quod alia praeterea eiusdem poetae in Anacreontem extant carmina, non est offensioni: solet ille, ut est luxuriantis ingenii, eadem argumenta saepius tractare, quem in hac quoque re secutus est Antipater Sidonius, qui etiam haec ipsa epigrammata imitatus est. — V. 1. ὀπώρας P, ὀπώρης Pl. Suid. v. ἡμερὶ (sed AVE ὀπώρας). — V. 2. ἣ . . . φύεις Suidas (sed ABV οὐ λήγῃ . . . φύεις), ἣ . . . φύσεις P, ἣ . . . φύσεις Pl. — V. 4. λεπτῷ, Hecker λιτῷ. — V. 5. φιλόκωμος Pl., φίλακώμοι P. Hecker coniecit φιλοκώμοις παννυχίσιν κρούων. — V. 6. κρούων, P κροίων, sed οι a m. s., κρούοι Pl. — V. 7. κἠν, P a m. s. γρ. καί. — V. 8. ὡραίων Stephanus, v. ὡραῖον, P ὡραῖον.

καί μιν ἀεὶ τέγγοι νοτερὴ δρόσος, ἧς ὁ γεραιὸς
λαρότερον μαλακῶν ἔπνεεν ἐκ στομάτων

184. [171.]

Οὗτος Ἀνακρείοντα τὸν ἄφθιτον εἵνεκα Μουσῶν
ὑμνοπόλον πάτρης τύμβος ἔδεκτο Τέω,
ὃς Χαρίτων πνείοντα μέλη, πνείοντα δ' Ἐρώτων
τὸν γλυκὺν ἐς παίδων ἵμερον ἡρμόσατο.
μοῦνος δ' εἰν Ἀχέροντι βαρύνεται, οὐχ ὅτι λείπων
ἠέλιον, Λήθης ἐνθάδ' ἔκυρσε δόμων, 927
ἀλλ' ὅτι τὰν χαρίεντα μετ' ἠϊθέοισι Μεγιστέα
καὶ τὸν Σμερδίεω Θρῆκα λέλοιπε πόθον·
μολπῆς δ' οὐ λήθη μελιτερπέος, ἀλλ' ἔτ' ἐκεῖνον
βάρβιτον οὐδὲ θανὼν εὔνασεν εἰν Ἀΐδῃ.

185 A.

A. *Τίς ἅδε;* B. *Βάκχα.* A. *τίς δέ μιν ξέσε;* B. *Σκόπας.*
A. *Τίς δ' ἐξέμηνε, Βάκχος ἢ Σκόπας;* B. *Σκόπας.*

185 B.

Τὸν ἐν Ῥόδῳ κολοσσὸν ὀκτάκις δέκα
Χάρης ἐποίει πηχέων ὁ Λίνδιος.

V. 9. *μιν* Pl. Suidas in *λαρόν*, *σφιν* P sed *σ* addidit m. s. Inde a verbis *ἧς ὁ γερ.* affert etiam Suidas v. *γεραιὸς*.

Epigr. 184. Anth. P. VII 25: m. s. *τοῦ αὐτοῦ εἰς τὸν αὐτὸν* m. pr. *ἀνακρέοντα τὸν τήιον. ἔστιν δ' ἡ πόλις αὕτη οὐχ ἡ ποντικὴ ἀλλ' ἡ πρὸς ἔφεσον κειμένη μία τῖαΔ' πο).* m. sec. *ὅτι νῆσός ἐστιν ἡ τέως μία τῶν κυκλάδων.* Cf. Iriarte 95. Vide de hoc ep. supra. — V. 2. *ὑμνοπόλον*, P *ὑμνοπόλων*. — V. 5. *μοῦνος*, fort. *μοῦνον*. — *λείπων*, P *λέιπὼν*. — V. 6. *δόμων*, Pl. *δόμῳ*. — V. 8. *πόθον*, Benndorf *πλόκον*. — V. 9. P in m. addit *εἰς ἀνακρέοντα*. — *λήθη* vulgo, *λήθει* P Pl., *λῆγεν* Suidas v. *Μολπή*, unde Porson *λήγει*. — *ἐκεῖνον* P, *ἐκεῖνο* Pl., *τὸ κλεινὸν* Schneidewin, *ποθεινὸν* vel *ἐρατεινὸν* Emperius.

Epigr. 185 A. Cod. Pal. Anth. post indicem p. C et Anth. Plan. 60: *Σιμωνίδου*. cf. Iriarte 95. Recentioris poetae esse manifestum est; isti enim poetae hoc argumentum saepius tractarunt, cf. Anth. IX 774. — V. 1. *τίς δέ μιν* Planudes ex coniectura, ut videtur, P *τ̂ς δεῆξέσε*. Fortasse *τίς δ' ἐῢ ξέσε*.

Epigr. 185 B. Anth. Plan. 82: *Σιμωνίδου*. cf. Iriarte 96. Hoc quoque a Simonide alienum esse apparet. Affert etiam Strabo XIV 652: *ἄριστα δὲ ὅ τε τοῦ Ἡλίου κολοσσός, ὅν φησιν ὁ ποιήσας τὸ ἰαμβεῖον, ὅτι ἑπτάκις δέκα Χάρης ἐποίει πηχέων ὁ Λίνδιος.* unde suspiceris epigrammatis auctorem incertum fuisse. Ceterum Strabo videtur in initio legisse: *Τὸν Ἡλίου κολοσσόν* (auctor Epitomes ap. Kramerum T. III 560 scribit *Κολοσσὸν Ἡλίου ποθ' ἑπτάκις κτλ.*) rectiusque *ἑπτάκις* scribit, quemadmodum etiam Plin. H. N. XXXIV 41. cf. Eudoc. 429. Eustath. ad Dion. Per. 505. Nihil tamen mutandum duxi, quemadmodum item falsa prodidit Schol. Luciani IV p. 200: *ἑξήκοντα μὲν πηχῶν τὸ ὕψος, ἔργον δὲ Λυσίππου τοῦ ἀγαλματοποιοῦ.* — V. 2. *Χάρης* Strabo, *Λάχης* Planudes librarii errore, qui hominibus doctis negotia facessivit;

186.

Δῆμος Ἀθηναίων σε, Νεοπτόλεμ', εἰκόνι τῇδε
τίμησ' εὐνοίης εὐσεβίης θ' ἕνεκα.

187. 928

A. *Τίς εἰκόνα τάνδ' ἀνέθηκεν;* B. *Δωριεὺς ὁ Θούριος.*
A. *Οὐ Ῥόδιος γένος ἦν;* B *Ναί, πρὶν φυγεῖν γε πατρίδα,*
δεινᾷ γε χειρὶ πόλλ' ἔρξας ἔργα καὶ βίαια.

cf. Pseudo-Draco Stratonic. p. 99: *Χάρης τὴν ἄρχουσαν συστέλλει, Σιμωνίδης· τὸν ἐν Ῥ κ. ὀ. δ. Χάρης ἐποίει.* — Lüders (de colosso Rhod. p. 11 Hamburg 1865) existimat hos versus subscriptos fuisse statuae colossicae, quae parum verisimilis est suspicio. Ad colossum hunc pertinet etiam epigr. adespoton in Anth. P. VI 171, quod *Alcaei* Messenii esse arbitror: scripsit hoc poemation paulo ante quam statua terrae motu eversa est, Ol. CXXXIX, vel ut Lüders censet, Ol. CXXXVIII 1.

Epigr. 186. Append. Anth. Pal. 77 ex cod. Pal. p. *α'*, ubi $\overset{\omega}{\text{CIM}}$, unde apogr. Dorvill.: *Σίμωνος.* sed cod. Par. *σιμωνίδου.* Simonidis certe non est, sed Schneidewin non recte ad Romana tempora refert; subscriptum fuit epigramma statuae, quam Athenienses auctore Lycurgo oratore in honorem Neoptolemi Anticlis filii Melitensis erexerunt, vid. Pseudoplut. vit. X orat. *ἔγραψε δὲ (Λυκοῦργος) καὶ Νεοπτόλεμον Ἀντικλέους στεφανῶσαι καὶ εἰκόνα ἀναθεῖναι, ὅτι ἐπηγγείλατο χρυσώσειν τὸν βωμὸν τοῦ Ἀπόλλωνος ἐν ἀγορᾷ κατὰ τὴν μαντείαν τοῦ θεοῦ.* Liberalitate et divitiis insignis fuisse videtur, vide Demosth. de Cor. §. 114: *εἶθ' οὑτοσὶ Νεοπτόλεμος πολλῶν ἔργων ἐπιστάτης ὢν ἐφ' οἷς ἐπέδωκε τετίμηται.* cf. Boeckh de re nav. Athen. p. 245.

Epigr. 187. Anth. P. XIII 11: *Σιμωνίδου πεντάμετρον ὑποχρηματιξ,* ubi scribendum *τετράμετρον ὑπορχηματικόν.* Versus 1 et 2 similes sunt Archilochiis asynartetis, velut:

Ἐρασμονίδη Χαρίλαε, χρῆμά τοι γελοῖον.

nisi quod huius epigrammatis versus semipede aucti sunt: Archilochi versus veteres ad tetrametra retulerunt (vid. Archil. fr. 79 seq.), quoniam utrumque colon dimetro constare visum est; itaque hi quoque versus, qui brachycatalecti trochaici dimetri loco catalecticum exhibent, tetrametri, nullo vero modo pentametri vocitari poterant; item erratum est apud Diomedem p. 515, ubi ille versus *Archilochium trimetrum* dicitur, scr. *tetrametrum*, nisi praestat Keilium sequi, qui codicum auctoritate delevit. Iam idem ille versus Archilochius a Plotio, homine prorsus imperito, sed qui nonnulla antiquae disciplinae praecepta solus servavit, p. 300 *Prosodiacum hyporchematicum* appellatur, estque sane hic numerus saltantium cantilenis inprimis commodus: atque similibus metris ipse Simonides in *ὑπορχημάτων* libro usus est, vide supra fr. 29 et 31; et fortasse iam Thaletas eiusque sectatores, quos Plutarchus de mus. c. 10 dicit Archilochum imitatos esse, Archilochium hunc versum asciverunt. Igitur quum versu, qualis hic legitur, Simonides in *ὑπορχημάτων* libro saepius videatur usus, metrum hoc Simonideum dici poterat, cum brevius Archilochium sit vocitatum: atque inde videtur repetendum esse, quod hoc epigramma Simonidi tributum est. Nam si fuit adscriptum *Σιμωνίδειον τετράμετρον ὑπορχηματικόν*, vel a metrico hoc epigramma tanquam exemplum Simonidei versus fuit adhibitum, maxime in proclivi erat error. Ceterum v. 2, qui anacrusi caret, non est corrigendus, vide quae de hac popularis carminis licentia dixi ad carm. pop. fr. 41. Tertius denique versus est asynartetus Callimachius, velut:

188.

Ἴσθμια δίς, Νεμέᾳ δίς, Ὀλυμπίᾳ ἐστεφανώθην,
οὐ πλάτεϊ νικῶν σώματος, ἀλλὰ τέχνᾳ.
Ἀριστόδαμος Θράσιδος Ἀλεῖος πάλᾳ.

Alia plane abieci, nam Anthol. P. V 161, quod olim Simonidi tribuebatur (cf. Iriarte p. 93) in cod. P inscribitur Ἡδύλου, οἱ δὲ Ἀσκληπιάδου; fortasse *Asclepiadis* est, qui alias et Boedium meretricem (V 159) et Cleophontem (V 153) memorat. — Deinde Anth. P. VII 187. Φιλίππου in cod. P inscribitur, et infra tantum ubi repetitur post VII 349 *Simonidi*, in Planudea vero *Leonidae* tribuitur; choliambi ib. VII 345 ad Simonidem relati, *Aeschrionis* sunt. — Anth. P. IX 147. *Antagorae* est, et in Plan. tantum Σιμωνίδου inscribitur. — Porro Anth. Plan. 204, quod Σιμωνίδου inscribitur, potius *Praxitelis* est, vid. Athen. XIII 591 A itaque supra exhibui, quemadmodum aliud ap. Stob. Ecl. Phys. I 9, 16 male adhaesit Simonidis epigrammati, cum *Agathonis* sit. — Epigramma ἀδέσποτον (ita m. s.) in Anth. P. VII 306 (adde Plut. Themist. c. 1. Athen. VIII 576 C) in Themistoclis matrem Schneidewin Simonidi tribuit, quod prorsus incertum. — Versus, qui in Etym. M. p. 135, 30 vulgo *Simonidi* tribuitur, quem Schneidewin ad Simmiam

Δήμητρι τῇ Πυλαίῃ τῇ τοῦτον οὐκ Πελασγῶν.

Abiudicandum autem hoc epigramma Simonidi, quoniam Dorieus Rhodius sub initium belli Peloponnesiaci tribus deinceps Olympiadibus vicit, vid. Pausan. VI 7, 1 qui deinde 9, 4 addit: ἀνηγορεύοντο δὲ οὗτός τε καὶ ὁ Πεισίροδος Θούριοι, διωχθέντες ὑπὸ τῶν ἀντιστασιαστῶν ἐκ τῆς Ῥόδου καὶ ἐς Ἰταλίαν παρὰ Θουρίους ἀπελθόντες. cf. Xenoph. Hellen. I 5, 19. Hartung *Simmiae* vindicat epigramma. — V. 2. γε, P τε. — V. 3. γε scripsi, P τε. — P πολλ' ἔρξας, Iacobs πολλὰ ῥέξας.

Epigr. 188. Hephaest. 113: Μετρικὰ δὲ ἄτακτα ... τοιοῦτόν ἐστι καὶ τὸ Σιμωνίδειον· Ἴσθμια κτλ. Repetitur ib. 119. — V. 1. Ἴσθμια, Brunck coni. Πύθια, quoniam Elei ab Isthmiis certaminibus arcebantur, vid. Pausan. V 2, 2 seqq. VI 16, 2, et quoniam Paus. VI 3, 4 dicit: ἀνάκειται δὲ καὶ ἐξ αὐτῆς Ἤλιδος παλαιστὴς ἀνὴρ Ἀριστόδημος Θράσιδος· γεγόνασι δὲ αὐτῷ καὶ Πυθοῖ δύο νῖκαι· ἡ δὲ εἰκὼν ἔστι τοῦ Ἀριστοδήμου τέχνη Δαιδάλου τοῦ Σικυωνίου, μαθητοῦ καὶ πατρὸς Πατροκλέους. — Νεμέᾳ, posteriore l. Fl νεμέα, priore l. CE(S) Turneb. Νέμεα. — Ὀλυμπίᾳ, l. priore CE(SFl) Ὀλύμπια. — ἐστεφανώθην, post. l. E ἐστεφανώθη. Santen coniecit Ὀλύμπια δὶς στεφανώθην. — V. 3. codd. utroque loco ἀριστόδημος θρασὺς ἀλεῖος πάλαι, nisi quod priore l. ἀριστοδάμας ACE(SFl), ἄλιος CE(SFl.) Correxit Scaliger. Iam vero Aristodemus (de quo Krause Olympia 2 50 seq. non recte disputavit) sec. Eusebium lucta vicit Olympiae Ol. 98, eademque aetate Daedalus Patroclis filius floruit (cf. Brunn Hist. Artificum I 278), itaque hoc epigramma Simonidi omnino abiudicandum. Iacobs Simonidi minori, Hartung Simmiae tribuere voluit; mihi Hephaestionis error subesse videtur: fortasse Simonides saepius in suis epigrammatis disticho subiunxerit trimetrum iambicum, ut haec poematii forma Σιμωνίδειον potuerit iure vocari, et cum artis magistri exempli loco hoc ipsum epigramma, quod a Simonide alienum est, adhibuissent, ille temere ipsi Simonidi adscripsit.

retulit, *Simyli* elegiographi est (de quo vid. Plut. Romul. c. 17) ut codd. testantur, estque sic scribendus: *Μύσιον ἀπύοντα* (*ἠπύοντα*) 929
παρὰ ῥόον Ἀργανθώνης. Simylus haec de Hercule Hylam a Nymphis raptum quaerente videtur dixisse: nam *cui non dictus Hylas puer?*

Contra poteram alia epigrammata adespota ad Simonidem revocare, sed nolui nimis incertis coniecturis indulgere: velut huic poetae, cum post Medicum bellum plurima in gratiam Atheniensium composuerit epigrammata, tribuat aliquis quod servavit Harpocr. *πρὸς τῇ πυλίδι Ἑρμῆς*·

Ἀρξάμενοι πρῶτοι τειχίζειν τόνδ' ἀνέθηκαν
βουλῆς καὶ δήμου δόγμασι πειθόμενοι.

sed tenue poematium, neque claro vate dignum.

Simonidi tribuit Schneidewin elegans epigramma, quod est ap. Diodor. XI 114 (Arsen. 97):

Μνᾶμά τ' ἀλεξάνδρου πολέμου καὶ μάρτυρα νίκας
Δελφοί με στᾶσαν, Ζανὶ χαριζόμενοι
σὺν Φοίβῳ, πτολίπορθον ἀπωσάμενοι στίχα Μήδων
καὶ χαλκοστέφανον ῥυσάμενοι τέμενος.

sed tamen prorsus incerta haec coniectura. Cf. etiam quae dixit Wieseler Philol. XXI 274, sed non recte ille *χαλικοστέφανον* corrigere voluit, de maceria cogitans, qua templum fuerit circumdatum: *χαλκοστέφανον* referendum est ad multitudinem ahenearum statuarum, Delphici fani maxime insigne decus, atque vel propterea hic titulus ad recentiorem aetatem revocandus: videntur enim Delphi aliquanto post illud tropaeum in memoriam Medici tumultus Iovi et Apollini consecravisse, sed ante Ephori historici aetatem: nam Diodorus haud dubie haec quoque ex Ephoro descripsit, qui titulos haud neglexerat; cf. Diod. XIII 41. — Item ad Simonidem Schneidewin retulit epigramma ap. Athen. XII 536 B:

Μνᾶμ' ἀρετᾶς ἀνέθηκε Ποσειδάωνι ἄνακτι
Παυσανίας, ἄρχων Ἑλλάδος εὐρυχόρου
πόντου ἐπ' Εὐξείνου, Λακεδαιμόνιος γένος, υἱὸς
Κλεομβρότου, ἀρχαίας Ἡρακλέος γενεᾶς.

quod epigramma Goettlingio cum aliis nominibus, tum propter adiectivum *εὐρύχορος* suspectum et subditicium videtur: iniuria opinor; videtur Pausanias monumentum consecrasse, cum tituli honore, quem Delphis usurpaverat, esset orbatus et privatus denuo Byzantii versaretur, hoc est Ol. LXXVII 2 vel 3 (cf. etiam Schaefer de rer. gest. tempor. p. 14): itaque potuit Simonidis opera uti, neque tamen verisimile est, hoc Simonidis esse epigramma.

Item Schneidewin Simonidi tribuit versus, qui leguntur ap. Plut. consol. ad Apollon. c. 15 vit. Pelop. c. 1. Stob. CVIII 83 (ubi *οὔτε τὸ ζῆν . . . οὔτε*):

Οἳ θάνον οὐ τὸ ζῆν θέμενοι καλὸν οὐδὲ τὸ θνήσκειν,
ἀλλὰ τὸ ταῦτα καλῶς ἀμφότερ' ἐκτελέσαι.

ubi corrigit οἳ δ' ἔθανον τὸ ζῆν ϑ. κ. οὔτε κτλ., contra Goettling Opusc. I 320 eosdem versus *Tyrtaeo* vindicare studet.

Brunck tribuit Simonidi epigramma Anthol. Plan. 84:

Οὐκ ἀδαὴς ἔγραψε Κίμων τάδε· παντὶ δ' ἐπ' ἔργῳ
μῶμος, ὃν οὐδ' ἥρως Δαίδαλος ἐξέφυγεν.

non improbabiliter, cum apud Planudem eodem loco legantur alia Simonidis epigrammata; cf. etiam Iriart. Codd. Matr. 94. O. Iahn assentiente Benndorfio hoc distichon censuit petitum ex Nicomachi elegia de claris pictoribus, falsus ille quidem, nam tabulae subscriptum fuisse testificatur τάδε, quod v. 1 legitur: cf. quae supra p. 632 disserui. — Item Brunck vindicare voluit Simonidi epigr. adespoton Anthol. Pal. XIII 17:

Ἰφίων ἔγραψεν ἑᾷ χερί, τόν ποκα ὕδωρ
ϑρέψε Πειράνας ἄπο.

quod satis incertum: nam quod legitur ποκὰ, indicare videtur mortuo demum pictore titulum operi subiectum fuisse. Ceterum scribendum puto: *Ἰφίων ἔγραψεν ἑᾷ χερί, τόν ποκα ϑ ὕ δ ω ρ Ἔ ϑ ρ ε ψ ε Πειράνας ἄπο.* nam lemma est ἐπὶ ἑξαμέτρῳ δίμετρον. Cod. Pal. a pr. m. χειρὶ, et deinde τον et ϑρεψε sine accentu exhibet.

Restant alia epigrammata antiqua, quae possit aliquis Simonidi vindicare, velut illud, quod Plutarchus in vita Lycurgi c. 20 et apophth. Lacon. adscripsit:

Σβεννύντας ποτὲ τούσδε τυραννίδα χάλκεος Ἄρης
εἷλε· Σελινοῦντος δ' ἀμφὶ πύλας ἔϑανον.

sed coniectura nimis incerta.

Item nobiles versus, quos Cimon et collegae Eïone expugnata in hermis inscribendos curaverunt, vid. Aeschin. in Ctesiph. 184 (unde descripsit Tzetzes ad Lycophr. v. 417) et Plutarchi vit. Cimon. c. 7:

I.

Ἦν ἄρα κἀκεῖνοι ταλακάρδιοι, οἵ ποτε Μήδων
παισὶν ἐπ' Ἠϊόνι Στρυμόνος ἀμφὶ ῥοὰς
λιμόν τ' αἴϑωνα κρατερόν τ' ἐπάγοντες Ἄρηα.
πρῶτοι δυσμενέων ευρον ἀμηχανίην.

II.

Ἡγεμόνεσσι δὲ μισϑὸν Ἀϑηναῖοι τάδ' ἔδωκαν
ἀντ' εὐεργεσίης καὶ μεγάλης ἀρετῆς·
μᾶλλόν τις τάδ' ἰδὼν καὶ ἐπεσσομένων ἐϑελήσει
ἀμφὶ περὶ ξυνοῖς πράγμασι μόχϑον ἔχειν.

III.

Ἔκ ποτε τῆσδε πόληος ἅμ' Ἀτρείδῃσι Μενεσϑεύς
ἡγεῖτο ζάϑεον Τρωϊκὸν ἐς πεδίον,
ὅν ποϑ' Ὅμηρος ἔφη Δαναῶν πύκα χαλκοχιτώνων
κοσμητῆρα μάχης ἔξοχον ἄνδρα μολεῖν·

οὕτως οὐδὲν ἀεικὲς Ἀθηναίοισι καλεῖσθαι
κοσμητὰς πολέμου τ' ἀμφὶ καὶ ἠνορέης.

poterant, si temporis rationem habemus, a Simonide scribi, sed tamen si quid video ab huius poetae ingenio abhorrent, nec defuerunt Athenis tunc, quos in Cimonis gratiam haec poematia condidisse suspicari possis, velut Melanthium.

---

189. [108. 930

ΑΤΑΚΤΟΙ ΛΟΓΟΙ.

Arist. Metaph. N. 3: *πάντα δὴ ταῦτα ἄλογα, καὶ μάχεται καὶ αὐτὰ ἑαυτοῖς καὶ τοῖς εὐλόγοις καὶ ἔοικεν ἐν αὐτοῖς εἶναι ὁ Σιμωνίδου μακρὸς λόγος. γίγνεται γὰρ ὁ μακρὸς λόγος, ὥσπερ ὁ τῶν δούλων, ὅταν μηδὲν ὑγιὲς λέγωσιν.* ad quem locum Alex. Aphrodis. T. IV p. 827 B (p. 797 ed. Bonitz): *τὸ δὲ καὶ ἔοικεν ἐν αὐτοῖς εἶναι ὁ Σιμωνίδου μακρὸς λόγος, σαφὲς ἔσται προειποῦσιν τίς ἐστιν ὁ Σιμωνίδου λόγος. Ὁ Σιμωνίδης ἐν τοῖς λόγοις, οὓς Ἀτάκτους ἐπιγράφει, μιμεῖται καὶ λέγει, οὓς εἰκός ἐστι λόγους λέγειν δούλους ἐπταικότας πρὸς δεσπότας ἐξετάζοντας αὐτοὺς τίνος ἕνεκα ταῦτα ἐπταίκασι· καὶ ποιεῖ αὐτοὺς ἀπολογουμένους λέγειν πάνυ μακρὰ καὶ πολλά, οὐδὲν δὲ ὑγιὲς ἢ πιθανόν, ἀλλὰ πᾶν τὸ ἐπιφερόμενον ἐναντίον τῷ προφρασθέντι· τοιοῦτον γὰρ ὡς εἰκὸς τὸν βάρβαρον καὶ παιδείας ἄμοιρον.* Welcker haec retulit ad Simonid. Amorg. fr. 10, Schneidewin in Museo Rhen. VII 460 seq. librum pedestri oratione *mimorum* in modum conscriptum fuisse putat et confert Arist. Rhet. III 14.

ΕΞ ΑΔΗΛΩΝ.

190. [113.]

Mich. Psellus *περὶ ἐνεργ. δαιμ.* p. 5: *Κατὰ Σιμωνίδην ὁ λόγος τῶν πραγμάτων εἰκών ἐστιν.* nisi forte apophthegma est.

191. [114.]

Plato de Republ. I 331 E: *Λέγε δή, εἶπον ἐγώ, σὺ ὁ τοῦ λόγου κληρονόμος, τί φῂς τὸν Σιμωνίδην λέγοντα ὀρθῶς λέγειν περὶ δικαιοσύνης; Ὅτι, ἦ δ' ὅς, τὸ τὰ ὀφειλόμενα ἑκάστῳ ἀποδιδόναι δίκαιόν ἐστι, τοῦτο λέγων δοκεῖ ἔμοιγε καλῶς λέγειν.* Cf. ib. 332 A. 334 E et 335 D. Respicit huc Proclus ad Hesiod. Op. v. 707: *Σιμωνίδης γοῦν ταύτην εἶναι δικαιοσύνην ὡρίσατο, τοὺς φίλους εὖ ποιεῖν.*

192. [118.]

Theon Progymnasm. I 215 Walz: *Ἐκ δὲ τοῦ ἀσυμφόρου, ὅτι βλαβερῶς παραινεῖ Σιμωνίδης παίζειν ἐν τῷ βίῳ καὶ περὶ μηδὲν ἁπλῶς σπουδάζειν.*

193. [126.]

Plut. de Is. et Osir. c. 23: Ὀκνῶ δέ, μὴ τοῦτο ᾖ τὰ ἀκίνητα κινεῖν καὶ π ο λ ε μ ε ῖ ν οὐ (sic AEFGHV, vulgo ἐν) τ ῷ π ο λ λ ῷ χ ρ ό ν ῳ, κατὰ Σιμωνίδην, μόνον, πολλοῖς δ' ἀνθρώπων ἔθνεσιν κτλ. Cf. vit. Thes. c. 10: Οἱ Μεγαρόθεν συγγραφεῖς ὁμόσε τῇ φήμῃ βαδίζοντες καὶ τ ῷ π ο λ λ ῷ χ ρ ό ν ῳ κατὰ Σιμωνίδην π ο λ ε μ ο ῦ ν τ ε ς.

194. [222.] 931

Athen. V 210 B: Ἐν Φλιοῦντι κατὰ τὴν πολεμάρχειον στοὰν γεγραμμένην ὑπὸ Σίλλακος τοῦ Ῥηγίνου, οὗ μνημονεύουσιν Ἐπίχαρμος καὶ Σιμωνίδης. haud dubie in *Epigrammate*.

195. [55.]

Mythogr. Vatic. III 27: „Neque enim verum est, animam deserere corpus, cum potius corpus animam deserat. Hinc et Simonides poeta et Statius itidem in VIII: „Odi artus fragilemque hunc corporis usum Desertorem animi.“ Cf. Schol. Stat. Theb. VIII 739.

196. [56.]

Plutarch. Consol. ad Apoll. c. 17: Τὰ γὰρ χίλια καὶ τὰ μύρια κατὰ Σιμωνίδην ἔτη στιγμή τις ἐστὶν ἀόριστος, μᾶλλον δὲ μόριόν τι βραχύτατον στιγμῆς. nisi hoc inter apophthegmata est referendum.

197. [57.]

Strabo XV 711: Περὶ δὲ τῶν χιλιετῶν Ὑπερβορέων τὰ αὐτὰ λέγει Σιμωνίδῃ καὶ Πινδάρῳ καὶ ἄλλοις μυθολόγοις.

198. [13.]

Strabo IX 441: Διὰ δὲ τὸ ἀναμὶξ οἰκεῖν Σιμωνίδης Περραιβοὺς καὶ Λαπίθας καλεῖ τοὺς Πελασγιώτας ἅπαντας τοὺς τὰ ἑῷα κατέχοντας τὰ περὶ Γυρτῶνα καὶ τὰς ἐκβολὰς τοῦ Πηνειοῦ καὶ Ὄσσαν καὶ Πήλιον καὶ τὰ περὶ Δημητριάδα καὶ τὰ ἐν τῷ πεδίῳ, Λάρισσαν, Κραννῶνα, Σκοτοῦσσαν, Μόψιον, Ἄτρακα καὶ τὰ περὶ τὴν Νεσσωνίδα λίμνην καὶ Βοιβηΐδα.

199.

Schol. Theocr. XII 27: Νισαῖοι Μεγαρῆες ἀριστεύοντες ἐρετμοῖς· καὶ Σιμωνίδης ἐπαινεῖ τοὺς Μεγαρεῖς· ἤγουν ἄριστοι τὰ ναυτικά. haec postrema recentior scholiasta exhibet, etiam schol. Ambros. μαρτυρεῖ δὲ αὐτοῖς Σιμωνίδης ναυτικήν.) sed verisimile est Simonidem hoc ipso nomine collaudavisse Megarenses, itaque grammaticus non epigr. 107 sed alium locum respexit.

200.

Tzetz. Chil. I 430:

Ἀτρέως ἐν τοῖς θρέμμασιν ἦν τι χρυσοῦν ἀρνίον,
Ὁ Σιμωνίδης πορφυροῦν εἶναι δὲ τοῦτο λέγει.

Schneidewin putat Tzetzen temere ad Atrei historiam transtulisse, quae de vellere Colchico dixit poeta fr. 21.

201. [37.]

Himer. Or. XVI 7: *Διὸ δὴ καὶ Σιμωνίδῃ πείθομαι, ὅπερ ἐκεῖνος ἐν μέλεσι περὶ Μουσῶν ἀνύμνησε· φησὶ γὰρ δήπου τοῦτο ἐκεῖνος· Ἀεὶ μὲν αἱ Μοῦσαι χορεύουσι καὶ φίλον ἐστὶ ταῖς θεαῖς ἐν ᾠδαῖς τε εἶναι καὶ κρούμασιν· ἐπειδὰν δὲ ἴδωσι τὸν Ἀπόλλωνα τῆς χορείας ἡγεῖσθαι ἀρχόμενον, τότε πλέον ἢ πρότερον τὸ μέλος ἐκτείνασαι ἠχόν τινα παναρμόνιον καθ' Ἑλικῶνος ἐκπέμπουσιν.* Sunt fortasse ex *Paeanibus* petita.

202 A. [71.] 932

Phot. 500, 24: *Σαρδόνιος γέλως· . . . Σιμωνίδης δὲ τὸν Τάλων* (cod. *σιαλον*) *τὸν Ἡφαιστότευκτον Σαρδονίους, οὐ βουλομένους περαιῶσαι πρὸς Μίνωα, εἰς πῦρ καθαλλόμενον ὡς ἂν χαλκοῦν, προστερνιζόμενον ἀναιρεῖν ἐπιχάσκοντας.* Similia Suidas v. *Σαρδόνιος γέλως.* Cf. Zenob. V 85: *Σιμωνίδης δὲ φησὶ τὸν Τάλω πρὸ τῆς εἰς Κρήτην ἀφίξεως οἰκῆσαι τὴν Σαρδὼ καὶ πολλοὺς τῶν ἐν ταύτῃ διαφθεῖραι, οὓς τελευτῶντας σεσηρέναι, καὶ ἐκ τούτου ὁ Σαρδόνιος γέλως.* ibiq. interpr.

202 B.

Philodemus *περὶ εὐσεβείας* p. 37 ed. Gomperz (Vol. Herc. coll. nov. II 87) de Atlantis laboribus: *Εὐριπίδης . . . . . χαλκέοις* (*οὐρανὸν*) *νώτοις . . . .* (*ἐν*) *Ἴωνι πεποί(ηκεν, Σ)ιμωνίδης* (*δὲ τὸν*) *οὐρανὸν ἐ(πὶ τῶν) ὤμων* (*φέροντα, παρ' Ἡσιό)δῳ δ'* [*οὐρανὸν*] *εὐρὺν ἔχει κρατερῆς ὑπ' ἀνάγκης ἑστηὼς κεφαλῇ τε καὶ ἀκαμάτῃσι χέρεσσιν.*

203. [80.]

Schol. Hesiod. Teog. v. 313: *Τὴν ὕδραν Ἀλκαῖος μὲν ἐννεακέφαλόν φησι, Σιμωνίδης δὲ πεντηκοντακέφαλον.* Cf. Serv. Aen. VI 576 et VII 658.

•204. [82.]

Argum. Eurip. Medeae: *Φερεκύδης δὲ καὶ Σιμωνίδης φασίν, ὡς ἡ Μήδεια ἀνεψήσασα τὸν Ἰάσονα νέον ποιήσειε.* Cf. Schol. Arist. Eq. 1321.

205. [84.]

Schol. Pind. Pyth. IV 450: *Καὶ γὰρ καὶ παρὰ Σιμωνίδῃ ἐστὶν ἡ ἱστορία, ὅτι περὶ ἐσθῆτος ἠγωνίσαντο* (*οἱ Ἀργοναῦται*).

206. [86.]

Schol. Apoll. Rhod. IV 1212: *Ἐφύρα ἡ Κόρινθος ἀπὸ Ἐφύρας τῆς Ἐπιμηθέως θυγατρός· Εὔμηλος δὲ* (*φησὶν*) *ἀπὸ Ἐφύρας τῆς Ὠκεανοῦ καὶ Τηθύος, γυναικὸς δὲ γενομένης Ἐπιμηθέως.* sed pro *Εὔμηλος* cod. P *Σιμωνίδης*, itaque scribendum haud dubie *Εὔμηλος δὲ καὶ Σιμωνίδης ἀπὸ Ἐφ.*, ut Schneidewin quoque edidit. cf. fr. 48. Hanc scripturae varietatem novissimus editor, qui omnino falsam de codicibus scholiorum Apollonii opinionem concepit, ut alia mentione satis digna, prorsus silentio praetermisit.

207. [87.]

Schol. Eurip. Orest. 46: Ὅμηρος δὲ ἐν Μυκήναις φησὶν εἶναι τὰ βασίλεια Ἀγαμέμνονος, Στησίχορος δὲ καὶ Σιμωνίδης ἐν Λακεδαιμονίᾳ.

208. [89.]

Schol. Il. ν 517 ubi de Idomeneo et Deiphobo dicit: ὡς ἀντεραστὴς Ἑλένης· ὡς μαρτυρεῖ Ἴβυκος καὶ Σιμωνίδης. Cf. Eust. Il. 944, 43: Ἕτεροι δὲ ἀκολουθοῦντες τῇ Σιμωνίδου καὶ Ἰβύκου ἱστορίᾳ φασὶν ὡς ἀληθῶς ἀεὶ ἐνεκότει τῷ Ἰδομενεῖ Δηΐφοβος ὡς ἀντεραστῇ· ἤρα γάρ φασι καὶ αὐτὸς τῆς Ἑλένης.

209. [90.]

Longin. de Sublim. c. 15, 7: Ἄκρως δὲ καὶ ὁ Σοφοκλῆς ἐπὶ τοῦ θνήσκοντος Οἰδίπου καὶ ἑαυτὸν μετὰ διοσημείας τινὸς θάπτοντος πεφάνταται, καὶ κατὰ τὸν ἀπόπλουν τῶν Ἑλλήνων ἐπὶ τοῦ Ἀχιλλέως, προφαινομένου τοῖς ἀναγομένοις ὑπὲρ τοῦ τάφου· ἣν οὐκ οἶδ' εἴ τις ὄψιν ἐναργέστερον εἰδωλοποίησε Σιμωνίδου· πάντα δ' ἀμήχανον παρατίθεσθαι.

210 A.

Himer. Or. III 1: Ἵνα τι κατὰ σοῦ νεανιεύσωμαι, ὁποῖον Σιμω- 933
νίδης ἢ Πίνδαρος κατὰ Διονύσου καὶ Ἀπόλλωνος. quae oratio habita veris initio. Simonidis hoc carmen rursus videtur respicere XIII 7: postquam dixit de Apolline Musageta οἷον αὐτὸν καὶ Σαπφὼ καὶ Πίνδαρος . . . εἰς Ἑλικῶνα πέμπουσιν, ἢ οἷον τὸν Βακχειώτην (οὕτω γὰρ αὐτὸν ἡ λύρα καλεῖ τὸν Διόνυσον λέγουσα) ἦρος ἄρτι τὸ πρῶτον ἐκλάμψαντος, ἄνθεσί τ' ἠρινοῖσι καὶ κισσοῦ κορύμβοις Μούσαις κάτοχοι ποιηταὶ στέψαντες, νῦν μὲν ἐπ' ἄκρας κορυφὰς Καυκάσου καὶ Λυδίας τέμπη, νῦν δὲ ἐπὶ Παρνασοῦ σκοπέλους καὶ Δελφίδα πέτραν ἄγουσι, πηδῶντά τε αὐτὸν καὶ ταῖς Βάκχαις ἐνδιδόντα τὸν εὔϊον· ὅτε καὶ τὴν γῆν λόγος, οἷον αἰσθανομένην τῆς ἐπιδημίας αὐτοῦ, ῥεῖν μὲν μέλι καὶ γάλα καὶ ποταμούς τινας αὐτοῦ τοῦ νέκταρος Σατύροις τε καὶ Βάκχαις ἀρύεσθαι, καὶ μειδιᾶν μὲν ὁμοῦ ἡδύ τι καὶ χρυσαυγές, πορφύρειν δὲ ὅλην τοῖς ἄνθεσιν, ὅπως ἂν ἔχοι σκιρτᾶν τε καὶ ἀθύρειν ἐπ' αὐτῶν ὁ θεός· ἐμοὶ γὰρ καὶ τοῦτο τῷ θεῷ δοκεῖ εἰκότως ἐργάζεσθαι. Videntur sane haec ex Simonideo aliquo dithyrambo petita, res tamen in Himerio perquam incerta, cf. ad Pind. fr. 34.

210 B. [47.]

Menander de encom. Rhet. IX 133 ed. Walz: Πεπλασμένοι δὲ ὕμνοι, ὅταν αὐτοὶ σωματοποιῶμεν καὶ θεὸν καὶ γονὰς θεῶν ἢ δαιμόνων, ὥσπερ Σιμωνίδης τὴν Αὔριον δαίμονα κέκληκεν καὶ ἕτεροι Ὄκνον καὶ ἕτεροι ἕτερόν τινα. Ex hoc loco non recte olim confeci, Simonidem peculiare carmen in crastini diei honorem condidisse, rhetor nihil aliud testificatur, quam Simonidem hac prosopopoeia usum esse, quam etiam Callimachus epigr. 14 adhibuit: Δαίμονα τίς δ' εὖ οἶδε τὸν αὔριον.

211

Cram. An. Paris. I 166, 11: Εἴ γε βούλεσθε μὴ ληρεῖν, ἀλλὰ τοὺς Ἕλληνας ἐλευθερῶσαι καὶ κτήσασθαι πάλιν αὖ τὴν πατρῴαν ἡγεμονίαν, ἀπροφασίστως δουλεύοντα κατὰ τὸν Σιμωνίδην· οὐδὲν γάρ που μέγα μικρῷ θεραπεύεται. Locus nequit satis intelligi, cum excidisse videantur ea ipsa verba, quae ex Simonide adscripta fuerunt. Hartung βουλεύοντες coniecit, atque hoc ipsum βουλεύειν ἀπροφασίστως Simonidem dixisse opinatur.

212. [6.]

Schol. Apoll. Rhod. I 583: Νῆσος γὰρ ἡ Σκίαθος τῆς Θεσσαλίας ἐγγὺς Εὐβοίας, ἧς καὶ Σιμωνίδης μέμνηται.

213. [92.]

Schol. Apoll. Rhod. IV 814: Ὅτι δὲ Ἀχιλλεὺς εἰς τὸ Ἠλύσιον πεδίον παραγενόμενος ἔγημε Μήδειαν, πρῶτος Ἴβυκος εἴρηκε, μεθ' ὃν Σιμωνίδης. cf. Eudoc. 85.

214. [93.]

Schol. Hom. Il. β 872: Ἡ διπλῆ, ὅτι ἐπὶ τοῦ Ἀμφιμάχου ἐστὶ τό· ὃς καὶ χρυσὸν ἔχων, ὁ δὲ Σιμωνίδης ἐπὶ τοῦ Νάστου λέγει· καὶ ὅτι οὐ λέγει, ὅπλα αὐτὸν ἔχειν χρυσᾶ, ὡς καὶ πάλιν ὁ Σιμωνίδης ἐξέλαβεν, ἀλλὰ κόσμον χρυσοῦν. Suspicatus aliquando sum, Simonidem genealogum intelligendum esse, ut is iam epigrammata in Iliacos heroes composuerit, sed dudum abieci, nam clari poetae testimonio Aristarchum usum esse consentaneum est. Ceterum Luc. Müller (Philol. XI 175) censet v. 869 et 870 a rhapsodo aliquo additos esse, fortasse vere; sed quod existimat Simonidem hos duos versus non legisse, eam rem in medio relinquendam puto.

215. [95.]

Schol. Pind. Olymp. XIII 31: Καὶ ποιηταὶ διασημότατοι ἐν Κορίνθῳ ἐγένοντο, ὧν ἦν καὶ Αἴσων, οὗ μέμνηται Σιμωνίδης. At huius poetae nulla praeterea extat memoria, conieci Κιναίσων i. e. Κιναίθων, qui quod Laco fuisse perhibetur, ea diversitas non magnopere offendit.

216. [96.] 934

Scol. 1. Athenaeus XIV 625 C: *Φασὶ δὲ Πύθερμον τὸν Τήιον ἐν τῷ γένει τῆς ἁρμονίας αὐτῷ τούτῳ ποιῆσαι σκαιὰ* (*σκόλια*) *μέλη· καὶ διὰ τὸ εἶναι τὸν ποιητὴν Ἰωνικὸν Ἰαστὶ κληθῆναι τὴν ἁρμονίαν· οὗτός ἐστι Πύθερμος, οὗ μνημονεύει Ἀνάνιος ἢ Ἱππῶναξ ἐν τοῖς ἰάμβοις οὕτως· χρυσὸν λέγει Πύθερμος, ὡς οὐδὲν τἄλλα· λέγει δ' οὕτως ὁ Πύθερμος, οὐδὲν* (PV *οὐθὲν*) *κτλ.* Diogenian. Prov. VI 94: *Οὐδὲν ἦν τἄλλα πάντα πλὴν χρυσός· αὕτη ἀρχή ἐστι σκολιοῦ. ἀνατιθεῖσι δὲ αὐτὸ Πυθέρμωνι* (*Πυθέρμῳ*). Plut. Prov. I 96. Suidas v. *οὐδὲν ἦν* (ubi *παρὰ* pro *ἄρα*).

Scol. 2. Athen. XV 694 C: *Τῶν οὖν δειπνοσοφιστῶν ὁ μέν τις ἔλεγε τῶν σκολίων τόδε, ὁ δέ τις τόδε· πάντα δ' ἦν τὰ λεχθέντα ταῦτα· Παλλὰς κτλ.* — V. 1. *Ἀθηνᾶ*, haud dubie a librariis vulgaris haec forma ascita est, cum poeta *Ἀθάνα* dixisset: in titulis Atticis usque ad Euclidis annum solenni consuetudine *Ἀθηναία*, raro admodum *Ἀθηνάα* scribitur: post belli demum Peloponnesi exitum publica auctoritate recepta est forma *Ἀθηνᾶ*, quae quamvis haud dubie iam antea populi usu trita fuerit, tamen recentior esse videtur, quam quae his cantilenis popularibus conveniat: consentaneum est *Ἀθάνα* hic usurpatum fuisse,

---

*) In primo pede etiam singulares aliquot formae reperiuntur ⏑ ⏑ –, ⏑ –, ⏑ ⏑.

**) Haec forma, quae hendecasyllabi modum videtur excedere, nam bini dactyli medium locum tenent, reperitur Scol. 9. 11. 12. Casui autem fortuito tribuendum, quod haec licentia in secundo tantum versu strophae deprehenditur. Ceterum similiter Seneca tragicus in hendecasyllabo Sapphico dactylum geminavit.

***) Hanc pede auctiorem formam restitui Scol. 5 et 10. Cf. Scol. 17—20.

ἄτερ ἀλγέων καὶ στάσεων
καὶ θανάτων ἀώρων σύ τε καὶ πατήρ.

3.

Πλούτου μητέρ', Ὀλυμπίαν ἀείδω
Δήμητρα στεφανηφόροις ἐν ὥραις,
σέ τε παῖ Διὸς Φερσεφόνη· 1018
χαίρετον, εὖ δὲ τάνδ' ἀμφέπετον πόλιν.

4.

Ἐν Δήλῳ ποτ' ἔτικτε τέκνα Λατώ,
Φοῖβον χρυσοκόμαν, ἄνακτ' Ἀπόλλω,
ἐλαφηβόλον τ' ἀγροτέραν
Ἄρτεμιν, ἃ γυναικῶν μέγ' ἔχει κράτος.

5.

Ὦ Πάν, Ἀρκαδίας μεδέων κλεεννᾶς,
ὀρχηστά, Βρομίαις ὀπαδὲ Νύμφαις,
γελάσειας, ὦ Πάν, ἐπ' ἐμαῖς
εὐφροσύναισι, ταῖσδ' ἀοιδαῖς κεχαρημένος.

6.

Ἐνικήσαμεν, ὡς ἐβουλόμεσθα,
καὶ νίκην ἔδοσαν θεοὶ φέροντες
παρὰ Πανδρόσου ὡς φίλην Ἀθηνᾶν.

quam formam ex lyrica poesi asciverunt tragici. — V. 3. *καὶ* Hermann, libri *τε καί*. — V. 4. *ἀώρων*, C et epit. Hoeschelii *εὐώρων*.

Scol. 3. Athen. ibid. — V. 1. *Ὀλυμπίαν*, Casaub. coni. *ὀμπνίαν*, quod prorsus metro adversatur, certe *ὄμπνιαν* esse debebat, v. Herodian. *π. διχρ.* p. 354. — *ἀείδω*, A *ειδω δημητραστεστεφ*, B *ἐδωδὴν μήτρας τε στεφ*. — V. 3. *σέ τε* A, vulgo deest. — *Φερσεφόνη* A, vulgo *Περσεφόνη*. — V. 4. *ἀμφέπετον* Canter, vulgo *ἄμφετον*.

Scol. 4. Ibid. V. 1. *τέκνα*, Hermann *παῖδα* (*παῖδε*) coniecit. — V. 2. *Ἀπόλλω* Ilgen, libri *ἀπόλλων'* vel *ἀπόλλωνα*.

Scol. 5. Ibid. V. 1 et 3. *ὦ Πάν* Hermann, libri *ἰὼ Πάν*. — *μεδέων*, Hermann *μέδων*. — V. 2. C nihil nisi *βρόμιε* pro *Βρομίαις . . . γελάσειας*. — V. 3. *γελάσειας* Valckenaer, libri *γελασίαις*, nisi praestat *γελάσαις ἰώ*. — V. 4. *εὐφροσύναισι, ταῖσδ' ἀοιδαῖς* scripsi, libri *εὐφροσύναις ταῖς δ' ἀοιδαῖς ἄειδε* (*ἄοιδε* AB). Vulgo ex Hermanni coniectura *εὐφροσύναις ἀοιδαῖς κεχαρημένος*. Nunc Meineke eandem emendationem proposuit, addens etiam *τᾷδ' ἀοιδᾷ* scribi posse: si quid mutandum, malim *τᾶσδ' ἀοιδᾶς*, cf. Theocr. XXVII 70 *κεχαρημένος εὐνᾶς*.

Scol. 6. Ibidem. Hoc scolium recedit ab usitato numero, nam non solum tertius quoque versus est hendecasyllabus, sed etiam in prima sede hae formae ⏑ – et ⏑ ⏑ reperiuntur. — V. 2. *θεοὶ* AC, vulgo *οἱ θεοί*. — V. 3 de vitio suspectus, coniicio *παρὰ Πάνδροσον ὡς φίλην Ἀθηνᾷ*, nam Pandrosus, in cuius sacello primigenia oliva, Minervae carissima ex Cecropis filiabus. Hartung novavit *παρὰ Πανδρόσου Κεκροπίδος Ὅπλα, φίλης Ἀθηνᾷ* . . . . Ceterum *Ἀθάνᾳ* potius legendum, vide ad Scol. 2 v. 1.

7.

Εἴθ' ἐξῆν ὁποῖός τις ἦν ἕκαστος
τὸ στῆθος διελόντ', ἔπειτα τὸν νοῦν
ἐσιδόντα, κλείσαντα πάλιν,
ἄνδρα φίλον νομίζειν ἀδόλῳ φρενί.

8. 1019

(ΣΙΜΩΝΙΔΟΥ.)

Ὑγιαίνειν μὲν ἄριστον ἀνδρὶ θνατῷ,
δεύτερον δὲ φυὰν καλὸν γενέσθαι,
τὸ τρίτον δὲ πλουτεῖν ἀδόλως,
καὶ τὸ τέταρτον ἡβᾶν μετὰ τῶν φίλων.

Scol. 7. Ibid. et Eustath. p. 1574, 16. Respicit Aristoph. Eccles. 969. — V. 3. *ἐσιδόντα*, Eust. *ἰδόντα*. — *πάλιν*, Dindorf coni. *πάλιν τ'*.

Scol. 8. Athen. XV 694 E et deinde adiicit: *ᾀσθέντος δὲ τούτου καὶ πάντων ἡσθέντων ἐπ' αὐτῷ καὶ μνημονευσάντων ὅτι καὶ ὁ καλὸς Πλάτων αὐτοῦ μέμνηται ὡς ἄριστα εἰρημένου, ὁ Μυρτίλος ἔφη Ἀναξανδρίδην αὐτὸ διακεχλευακέναι τὸν κωμῳδιοποιὸν ἐν Θησαυρῷ λέγοντα οὕτως· Ὁ τὸ σκόλιον εὑρὼν ἐκεῖνος, ὅστις ἦν· Τὸ μὲν ὑγιαίνειν πρῶτον ὡς ἄριστον ἦν* (l. *ὂν*) *Ὠνόμασεν ὀρθῶς· δεύτερον δ' εἶναι καλόν, Τρίτον δὲ πλουτεῖν· τοῦθ', ὁρᾷς, ἐμαίνετο. Μετὰ τὴν ὑγίειαν γὰρ τὸ πλουτεῖν διαφέρει· Καλὸς δὲ πεινῶν ἐστιν αἰσχρὸν θηρίον.* Plato respicit Gorg. p. 451 E (*ὁ τὸ σκολιὸν ποιήσας*), ubi Schol. qui integrum adfert, *τὸ σκολιὸν τοῦτο οἱ μὲν Σιμωνίδου φασίν, οἱ δὲ Ἐπιχάρμου*. Cf. Leg. I p. 631, C et II p. 661 A. Respicit etiam Lucian. de lapsu inter salutand. c. 6. *Simonidi* tribuunt Clem. Alex. Strom. IV 375: *ὁ μὲν οὖν Σιμωνίδης καθάπερ καὶ Ἀριστοτέλης ὑγιαίνειν μὲν ἄριστον ἀνδρὶ γράφει, δεύτερον δὲ εὐφυᾶ καὶ καλὸν γενέσθαι, τρίτον δὲ πλουτεῖν ἀδόλως*. Apostol. XVII 48 d. Theodoret. XI 153. Schol. Lucian. l. l., Arsen. Viol. p. 456 ed. Walz. Cramer An. Par. III 291. Quod alii *Epicharmo* tribuunt, fortasse inde repetendum, quod comicus hoc scolium commemoraverat, videturque huc pertinere versus ab Arist. Rhet. II 21 servatus, *Ἀνδρὶ δ' ὑγιαίνειν ἄριστόν ἐστιν, ὥς γ' ἡμῖν δοκεῖ*, dorica ille quidem dialecto orbatus (ubi Meineke Poet. Com. III 169, qui et ipse Epicharmo tribuit, *ἐμὶν* scripsit), ad quem locum schol. ap. Cram. An. Par. I 290: *τὸ ἀνδρὶ δ' ὑγιαίνειν ἄριστον Σιμωνίδου ἐστὶν ἀπὸ τῶν σκολιῶν αὐτοῦ ἐπῶν, οἱ δ' Ἐπιχάρμου*. Ex hoc loco etiam Walz Rhet. 1154. *ἀνδρὶ δ' ὑγιαίνειν ἄριστόν ἐστι.* Denique Stobaeus Flor. CIII 9 nomine *Σκληρίου* (sive rectius *Σκίρου*) integrum affert: fortasse hic quoque comicus alicui fabulae inseruit, aut cum Scleriae versus librarii negligentia intercepti essent, lemmate relicto comici poetae nomen huic scolio adhaesit. Respicit etiam Liban. Epist. 1060. — V. 1. *θνατῷ*, Athen. epit. *θνητῷ*, Schol. Luc. *θνητῷ ἀνδρί*, Theod., Ars. om. *θνατῷ*. — V. 2. *φυὰν καλὸν*, ap. Ath. AC *καλὸν φυὰν*, L *καλοφυὰν*. — V. 3. *τὸ* om. Apost. Theod. Schol. Luc. (idem exhibet *πλουτέειν*), Schol. Pl. legit *τὸ δὲ τρίτον*. — V. 4. *καὶ τὸ*, Apost. *εἶτα τὸ*, om. Schol. Luc. et Plat. (ubi praeterea *τέταρτον δέ*). — *ἡβᾶν*, Athen. *συνηβᾶν*. — *τῶν*, ap. Stob. Trinc. *σῶν*.

9.

(ΚΑΛΛΙΣΤΡΑΤΟΥ.)

Ἐν μύρτου κλαδὶ τὸ ξίφος φορήσω,
ὥσπερ Ἁρμόδιος καὶ Ἀριστογείτων,
ὅτε τὸν τύραννον κτανέτην,
ἰσονόμους τ' Ἀθήνας ἐποιησάτην.

10.

Φίλταθ' Ἁρμόδι', οὔ τί που τέθνηκας,
νήσοις δ' ἐν μακάρων σέ φασιν εἶναι,
ἵνα περ ποδώκης Ἀχιλεύς,
Τυδεΐδην τέ φασιν ἐσθλὸν Διομήδεα.

11.

Ἐν μύρτου κλαδὶ τὸ ξίφος φορήσω,
ὥςπερ Ἁρμόδιος καὶ Ἀριστογείτων,

Scol. 9. Athen. XV 695 A affert (adde Eust. 1400, 18), quod quoniam cum Scol. 10. 11. 12. 13 in eodem argumento versatur, Fritzsche (Quaest. Aristoph. p. 50) et Schneidewin haec in unius carminis formam redegerunt. Callistratum carminis auctorem esse perhibet Hesychius v. *Ἁρμοδίου μέλος· τὸ ἐπὶ Ἁρμοδίῳ ποιηθὲν σκολιὸν ὑπὸ Καλλιστράτου οὕτως ἔλεγον.* quod ad primam huius argumenti tractationem referendum videtur: sed princeps quae sit ex variis cantilenis incertum, fortasse est scol. 10, quod quodammodo firmat Schol. Acharn. v. 980: *Ἐν ταῖς τῶν πότων συνόδοις ᾖδόν τι Ἁρμοδίου καλούμενον, οὗ ἡ ἀρχή· Φίλταθ' Ἁρμόδιε, οὔ τί που τέθνηκας.* Respicit Harmodii scolia praeterea Aristoph. Acharn. 989. Pelarg. fr. 3. Antiphan. Athen. XI p. 503 E, adde Diogen. Proverb. II 68 ibique interpr. — Scol. 9 respicit Aristoph. Lysistr. v. 632 ibique Schol., Suid. v. *ἐν μύρτου* et Apost. VIII 35. — V. 1. *φορήσω*, Suidas *κρατήσω.* — V. 2. *καὶ* libri, quod hic et pariter Scol. 11 et 12 servavi, Brunck *κ'* scripsit, at non ausus sum huius elisionis insolentiam his quamvis popularibus cantilenis vindicare: est sane particulae *καί* minor vis ac pondus, hinc ubi longa vocalis sive diphthongus subsequitur, plerumque ecthlipsin admittit; at ubi a brevi vocali inchoatur subsequens vocabulum, ibi raro cum illa coalescere solet. Metricam potius agnosco licentiam, poetae hi formas specie dispares, reapse aequabiles alternatim adhibuerunt. Atque etiam Meineke, qui olim *Ἁρμόδιός τ' Ἀριστογείτων θ'* coniecerat, nunc in Athenaeo *καὶ* servavit. — V. 3. *κτανέτην* AC, *κατανέτην* Cant. L, *κανέτην* requirit Cobet.

Scol. 10. Athen. ibid. Respicit Arist. Acharn. v. 1092 *Ὀρχηστρίδες, τὰ φίλταθ' Ἁρμοδίου, καλαί*, ubi nescio an scribendum sit *τὸ φίλταθ' Ἁρμόδι', οὔ τί που.* — V. 1. *οὔ τί που* Schol. Arist. Acharn. v. 980. Suid. v. *οὐδέ ποτ' ἐγὼ* et *πάροινος* et Aristides I p. 133 (ubi *οὔ τι που* ΔΘ, *οὔτι πω* vulgo), ap. Athen. *οὔπω.* — V. 2. *νήσοις*, B *νήσσοις.* — V. 3. *Ἀχιλεύς* Brunck, vulgo *Ἀχιλλεύς.* — V. 4. om. Epit. — *φασιν ἐσθλὸν* scripsi, libri *φασι τὸν ἐσθλὸν.* Vulgo ex Lowthii coniectura *τὸν ἐσθλὸν* deletum.

Scol. 11. Athen. ibid. V. 2. *καὶ* AB, *κ'* Cant. L.

ὅτ᾽ Ἀθηναίης ἐν θυσίαις
ἄνδρα τύραννον Ἵππαρχον ἐκανέτην.

12.

Αἰεὶ σφῷν κλέος ἔσσεται κατ᾽ αἶαν,
Φίλταθ᾽ Ἁρμόδιος καὶ Ἀριστόγειτον,
ὅτι τὸν τύραννον κανέτην,
ἰσονόμους τ᾽ Ἀθήνας ἐποιησάτην.

* 13.

Οὐδεὶς πώποτ᾽ ἀνὴρ ἔγεντ᾽ Ἀθήναις.

14. 1021

Αἰαῖ, Λειψύδριον προδωσέταιρον,
οἵους ἄνδρας ἀπώλεσας, μάχεσθαι
ἀγαθούς τε καὶ εὐπατρίδας,
οἳ τότ᾽ ἔδειξαν οἵων πατέρων ἔσαν.

15.

(⏒ –́ ⏑) – – – ⏑ ⏑ – ⏑ ⏒
– –́ ⏑ – ⏒ – ⏑ ⏑ – ⏑ –
⏑ –́ ⏑ – – –́ ⏑ – –
–́ ⏑ ⏑ – ⏑ ⏑ – ⏑ – –

Scol. 12. Athen. ib. — V. 1. *Αἰεὶ* Schweighaeuser, vulgo *ἀεί*. — V. 2. *Ἁρμόδιος* Ilgen, vulgo *Ἁρμόδιε*. — *καί* B, v. *κ᾽*. — V. 3. *ὅτι* AB, sed Cant. L *ὅτε*. — *κτανέτην*, B *κατανέτην*, Cobet *κανέτην*.

Scol. 13. Aristophanes Vespis v. 1224 videtur hoc novi scolii exordium servasse: *Ἐγὼ εἴσομαι· καὶ δὴ γάρ εἰμ᾽ ἐγὼ Κλέων, Ἄιδω δὲ πρῶτος Ἁρμοδίου· δέξει δὲ σύ· Οὐδεὶς πώποτ᾽ ἀνὴρ ἐγένετ᾽ Ἀθηναῖος* (quae Bentley correxit) *Οὐχ οὕτω γε πανοῦργος κλέπτης* (scr. *οὐδὲ κλέπτης*).

Scol. 14. Athen. XV 695 E. Legitur etiam ap. Etym. M. 361, 31: *Ἐπὶ Λειψυδρίῳ μάχη, χωρίον ὑπὲρ τῆς Πάρνηθος, ὃ ἐτείχισαν οἱ φυγάδες τῶν τυράννων, ὧν οἱ Ἀλκμαιονίδαι προεστήκεσαν, ἐκπολιορκηθέντων δ᾽ αὐτῶν ὑπὸ τῶν περὶ Πεισίστρατον, σκολιὸν εἰς αὐτοὺς ᾔδετο· Αἶ αἶ κτλ.* Apostol. VII 70. Arsen. 239. Eustath. ad Il. p. 461, 26 (ubi omissus est v. 4) et Suidas v. *ἐπὶ Λειψυδρίῳ μάχη*. — V. 1. *Αἰαῖ* Dindorf, vulgo *αἶ αἶ*. — *προδωσέταιρον* Hermann (et sic in Et. VM, *προδωσέστερον* D), vulgo *προδοσέταιρον*. — V. 3 et 4 desunt in cod. V Etym. — *μάχεσθαι*, Ars. Apost. *μάχεσθ᾽*, Eust. et Suidas vulgo *μάχεσθαί τ᾽* (ABEM *δ᾽*). — V. 3. *τε καί*, Eust. et Suidas vulgo *καί* (sed *τε καὶ* AE, *γε καὶ* BV ut Apost.) Hermann *μάχεσθαί τ᾽ ἀγαθοὺς γένει τ᾽*. — V. 4. om. Eustath. — *οἳ τότ᾽*, in Et. D *ὁπότ᾽* ut Suid. Arsen. Apost. — *ἔσαν* ap. Suid. ABVE (vulgo *ησαν*) et Ars. Apostol., *ἔασιν* Etym. (*ἔασαν* DM), *κύρησαν* Ath.

Scol. 15. Athen. XV 695 A. *ἑξῆς δ᾽ ἐλέχθη καὶ τάδε· ἐκ γῆς κτλ.* Excidit ab initio *Ἔκηλον* vel *πόρρωθεν* (quod etiam Schneidewin commemorat), Grotefend *ἐκ γῆς μὲν ἄνδρα*, ego antea *ἐκ γῆς, Μέλαγχρε*,

* * * Ἐκ γῆς χρὴ κατιδεῖν πλόον,
εἴ τις δύναιτο καὶ παλάμην ἔχοι·
ἐπεὶ δέ κ' ἐν πόντῳ γένηται,
τῷ παρεόντι τρέχειν ἀνάγκη.

16.

⏓ –́ ⏑ ⏑ – ⏑ –
⏓ –́ ⏑ ⏑ – ⏑ –
–́ – – ⏑ ⏑ – ⏑ – ⏓
⏓ –́ ⏑ ⏑ – ⏑ –

Ὁ καρκίνος ὧδ' ἔφα
χαλᾷ τὸν ὄφιν λαβών·
εὐθὺν χρὴ τὸν ἑταῖρον ἔμμεν 1022
καὶ μὴ σκολιὰ φρονεῖν.

17.

–́ ⏑ ⏑ – ⏑ – ⏑ – –́ ⏑ ⏑ – ⏑ ⏓
–́ ⏑ ⏑ – ⏓ – ⏑ – –́ ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏓

Παῖ Τελαμῶνος Αἶαν αἰχμητά, λέγουσί σε
ἐς Τροΐαν ἄριστον ἐλθεῖν Δαναῶν μετ' Ἀχιλλέα.

ut esset Alcaei carmen, conieci: et Aeolici poetae sane videtur esse, sed exuit germanam formam. — V. 3. δέ κ' Dindorf, δὲ κ' Cant. L, δὲ καὶ ABC. — V. 4. τρέχειν haud dubie vitium contraxit, sed medela incerta: tentavi τῷ παρεόντ' ἀτρεμεῖν i. e. ἡσυχάζεσθαι ἐπὶ τοῦ παρόντος.

Scol. 16. Athen. ibid. — V. 1. ὁ A, ὁ δὲ BC et Eustath. p. 1574, 14. — ἔφα, A Eust. ἔφη. — V. 2. χαλᾷ τὸν Eustath. C (nisi quod hic χηλῇ supra script.) epit. Hoeschel L, χαλλιτὸν AB cod. Cant. — V. 3. εὐθὺν, C εὔθεα, Epitome Hoesch. L et Eustath. εὐθέα. — ἔμμεν Casaubonus, codd. ενμεν vel ἐν μέν, Eust. C et cod. Cant. ἔμεν, Cobet εἶμεν. — Fortasse autem scolium sic potius conformandum:

ὁ δὲ καρκίνος ὧδ' ἔφα χαλαῖσιν τὸν ὄφιν λαβών·
εὐθὺν χρὴ τὸν ἑταῖρον ἔμμεν καὶ μὴ σκολιὰ φρονεῖν.

quemadmodum etiam Cobet constituit, nisi quod τᾷ χαλᾷ scripsit. Ceterum conf. Fab. Aesop. 70. Aliorsum pertinet paroemia, qua utitur Plut. de Herodoti malign. c. 27. Μένε, καρκίνε, καὶ σὲ μεθήσω.

Scol. 17. Athen. ibid. p. 695 C. Eust. 285, 2. Respicit Hesychius: Ἄιδειν (παῖ) Τελαμῶνος· ἦν τι σκολιὸν γεγραμμένον εἰς Αἴαντα. — V. 1. λέγουσί σε, C Cant. L Eust. λέγουσί σ', A λεγούσης. — V. 2. μετ' Eustath. (ubi etiam Ἀχαιῶν pro Δαναῶν), vulgo καί. Respiciunt huc Theopompus com. ap. Athen. I 23 E et Antiphan. ib. XI 503 E. cf. etiam Alcaei fr. 48. Brunck hoc scolium cum sequente in unum coniunxit. Ceterum videntur fuisse, qui *Pindaro* tribuerent hoc scolium, vid. Schol. Arist. Lysistr. 1237: Ἀρχή τινος σκολίου· παῖ Τελαμῶνος αἰχμητά· περὶ οὗ δεδήλωται ἤδη (vid. Schol. Acharn. 980). ὁ δὲ νοῦς, ὅτι τὰ ἐναντία λέγομεν ἑαυτοῖς καὶ πράττομεν· ὅταν γάρ τις ᾄσῃ ἀπὸ τῶν σκολίων Πινδάρου, λέγομεν ὅτι δεῖ μᾶλλον ᾄδειν ἀπὸ Κλειταγόρας τῆς ποιητρίας

18.

Τὸν Τελαμῶνα πρῶτον, Αἴαντα δὲ δεύτερον
ἐς Τροΐαν λέγουσιν ἐλθεῖν Δαναῶν μετ' Ἀχιλλέα.

19.

Εἴθε λύρα καλὴ γενοίμην ἐλεφαντίνη,
καί με καλοὶ παῖδες φέροιεν Διονύσιον ἐς χορόν.

20. 1023

Εἴθ' ἄπυρον καλὸν γενοίμην μέγα χρυσίον,
καί με καλὴ γυνὴ φοροίη καθαρὸν θεμένη νόον.

21.

ΠΡΑΞΙΛΛΗΣ.

⏓́ ⏓ – ⏑ ⏑ – –́ ⏑ ⏑ – –́ ⏑ ⏑ – ⏑ ⏓́
⏓́ ⏓ – ⏑ ⏑ – –́ ⏑ ⏑ – –́ ⏑ ⏑ – ⏑ ⏓

Ἀδμήτου λόγον, ὦ 'ταῖρε, μαθὼν τοὺς ἀγαθοὺς φίλει,
τῶν δειλῶν δ' ἀπέχου, γνοὺς ὅτι δειλοῖς ὀλίγα χάρις.

22.

Σύν μοι πῖνε, συνήβα, συνέρα, συστεφανηφόρει,
σύν μοι μαινομένῳ μαίνεο, σὺν σώφρονι σωφρόνει.

Scol. 18. Athen. ibid., omisit C. — V. 2. *μετ'*, libri *καί*.

Scol. 19. Athen. ibid. et Dio Chrysost. I 36: *Ἦ νὴ Δία τῶν Ἀττικῶν σκολιῶν τε καὶ ἐποίνων εὐχὰς οὐ βασιλεῦσι πρεπούσας, ἀλλὰ δημόταις καὶ φράτορσιν ἀγαθοῖς καὶ σφόδρα ἀνειμένοις· Εἴθε λύρα κτλ.* — V. 1. *γενοίμην*, Dio *γενοίμαν*, fortasse recte, ut est in vasculo Attico Annal. Inst. Archaeol. 1837 p. 186: *ὦ Ζεῦ πάτερ, αἴθε πλούσιος γενοίμαν.* — *ἐλεφαντίνη* Ath., sed ap. Dion. tantum M (*ἐλεφαντία* supra, *ἐλεφαντίους* C, *ἐλεφαντίνα* BA, *ἐλεφαντίη* P, *ἐλεφαντία* rel.). — V. 2. *φέροιεν* Athen. et ap. Dion. CM (sed ex corr. *φορέοιεν*, ut rel.).

Scol. 20. Athen. ibid. et Dio Chrysost. l. l., qui omisit verba *καθαρὸν θ. ν.* — V. 1. *γενοίμην*, Dio *γενοίμαν*. — V. 2. *φοροίη* Athenaei codd., et ap. Dion. M (rel. *φοροιεν* vel *φοροῖεν*). Praeterea ap. Dion. est *γυνὴ καλὴ* (sed P *καλὴ γυνή*). Brunck coniunxit cum praegresso scolio.

Scol. 21. Athen. XV 695 C. Eust. 326, 40. Dixi de hoc scolio ad Praxillae fragm. 3. — V. 2. *ὀλίγα* Eust., *ὀλίγη* Athen.

Scol. 22. Athen. ibid. et Eust. 1574, 20. — V. 1. *συνήβα* A et Eustath., vulgo *συνῆκα*. — *συστεφανηφόρει* C, *συνστεφανηφόρει* L Cant., *συγκανηφόρει* Eustath. — V. 2. *σὺν σώφρονι σωφρόνει* Canter, *συσσωφρόνει σώφρονι* C Eust., *συσσωφρονήσω σώφρονι* A, *συνσωφρονήσω σώφρονι* L. Cant.

23.

(ΠΡΑΞΙΛΛΗΣ.)

Ὑπὸ παντὶ λίθῳ σκορπίος, ὦ 'ταῖρ', ὑποδύεται·
φράζευ, μή σε βάλῃ· τῷ δ' ἀφανεῖ πᾶς ἕπεται δόλος.

24.

Ἁ ὗς τὰν βάλανον τὰν μὲν ἔχει, τὰν δ' ἔραται λαβεῖν·
κἀγὼ παῖδα καλὴν τὴν μὲν ἔχω, τὴν δ' ἔραμαι λαβεῖν.

25. 1024

Πόρνα καὶ βαλανεὺς τωὐτὸν ἔχουσ' ἐμπεδέως ἔθος·
ἐν ταὐτᾷ πυέλῳ τόν τ' ἀγαθὸν τόν τε κακὸν λόει.

26.

Ὅστις ἄνδρα φίλον μὴ προδίδωσιν, μεγάλαν ἔχει
τιμὰν ἔν τε βροτοῖς ἔν τε θεοῖσιν κατ' ἐμὸν νόον.

27.

Ἔγχει καὶ Κήδωνι, διάκονε, μηδ' ἐπιλήθου,
εἰ δὴ χρῆς ἀγαθοῖς ἀνδράσιν οἰνοχοεῖν.

28.

ΥΒΡΙΟΥ.

–́ ⏑ – – – ⏑ – ⏑ ⏑ – ⏑ ⏓
–́ ⏑ ⏑ – – – ⏑ – ⏑ – ⏑ – ⏓
– –́ ⏑ ⏑ – – – ⏑ – –
– –́ ⏑ – ⏑ – ⏑ – ⏑ ⏑ – ⏑ ⏓
–́ – – ⏑ – ⏑ ⏑ – ⏑ – – (–́ ⏑ – ⏑ ⏑ – ⏑ – ⏑ – ⏓)

Scol. 23. Athen. ibid. — V. 1. *ὦ 'ταῖρ'*, *ὦ ἑταῖρε* ABC. Confer Praxillae fr. 4.

Scol. 24. Athen. ibid. — V. 2. *τὴν μὲν* AB, et *τὴν δ'* B, vulgo *τὰν μὲν . . . τὰν δ'*. — *ἔχω*, *ἔχων* AB. Dubium est, utrum doricae formae a librariis tantum sint oblitteratae, an consulto poeta variaverit.

Scol. 25. Athen. ibid. — V. 1. *πόρνα* scripsi, v. *πόρνη*.

Scol. 26. Athen. ibid. — V. 1. *μεγάλαν* scripsi, vulgo *μεγάλην*. — V. 2. *θεοῖσιν*, *θεοῖς* B.

Scol. 27. Athen. XV 695 E. — V. 1. *καὶ Κήδωνι* AB cod. Cant., *κώθωνι* Canter, *δὴ κώθωνι* Porson non recte, fort. *Κύδωνι* scribendum, vide Proverb. *αἰεί τις ἐν Κύδωνος* Zenob. II 42. Diog. VIII 42. — *διάκονε* AB, *διάκουε* L. Cant. — V. 2. *εἰ δὴ χρῆς* scripsi, vulgo *εἰ δὴ χρὴ τοῖς*, Porson *εἰ χρὴ τοῖς*, Dobree *ἢ χρὴ τοῖς*. Possis *ᾗ δὴ χρή σ'*, M. Schmidt *εἰ δὴ λῇς χρηστοῖς*.

Scol. 28. Athen XV 695 F: *Σκόλιον δέ φασί τινες καὶ τὸ ὑπὸ Ὑβρίου τοῦ Κρητὸς ποιηθέν. ἔχει δ' οὕτως· ἔστι κτλ.* Eadem Eust. 1574, 7. Attigit Goettling in comm. acad. Ienae 1855. Duabus

Στρ. α΄.

Ἔστι μοι πλοῦτος μέγας δόρυ καὶ ξίφος
καὶ τὸ καλὸν λαισήϊον, πρόβλημα χρωτός·
τούτῳ γὰρ ἀρῶ, τούτῳ θερίζω,
τούτῳ πατέω τὸν ἁδὺν οἶνον ἀπ' ἀμπέλω·
τούτῳ δεσπότας μνοΐας κέκλημαι.

Στρ. β΄.

Τοὶ δὲ μὴ τολμῶντ' ἔχειν δόρυ καὶ ξίφος
καὶ τὸ καλὸν λαισήϊον, πρόβλημα χρωτός,
πάντες γόνυ πεπτηῶτες ἁμόν
. . . . . (προσ)κυνεῦντί (με) δεσπόταν
καὶ μέγαν βασιλῆα φωνέοντες.

29.

´ ⏑ ⏑ – ⏑ – ´ ⏑ ⏑ – ⏑ – ´ ⏑ ⏑ – ⏑ –

Χρήματα καὶ βίον Κλειταγόρᾳ τε κἀμοὶ μετὰ Θεσσαλῶν.

strophis carmen, strophae quinis versibus logaoedicis constant: v. 1, 2, 4 sunt hexapodiae, v. 3 tetrapodia, v. 5 pentapodia, sed in hoc hendecasyllabo strophae discrepant, variavit enim poeta, in priore versu dactylus tertiam, in altero secundam sedem obtinet, quemadmodum etiam Seneca tragicus sapphicis versibus subinde phalaeceos interserit, pariterque Priapeum carmen (Meyer Anthol. Lat. 1704) phalaeceos passim sapphicis versibus temperat. — Hybriae nomen Schmidt suspicatur restituendum esse apud Hesych. v. *Ἰβυκτήρ* (Philol. XIV 760), ut ille Cretensibus etiam *ἐμβατήριον* condiderit. — V. 1. *μέγας*, Eust. *μέγα*. — V. 4. *ἀμπέλω* Stephanus, *ἀμπέλων* CL Cant., *ἀμπέλου* Eust. Hartung audacter novavit *πατέω τ' οἶνον* [*ἁδὺν*] *ἀπ' ἀμπέλω*. — V. 5. *μνοΐας* scripsi, ut tribus syllabis pronuntietur, quamquam enim in huiusmodi versibus nonnunquam spondeus vice dactyli adhibetur, tamen praeter necessitatem non est admittenda ista asperitas. In libris est *μνοίας*, nisi quod C et Eust. plane omittunt, Hermann *δεσπότα μνωΐας* scripsit, ego in epecdosi suspicatus eram *μνοίταις* (*μνῴταις*), Hartung verbis traiectis *δεσπότας μνοΐας τούτῳ κέκλημαι*, non recte, nam *τούτῳ* suo loco non debebat moveri, Meineke *δέσποτα μνωΐας*. — *κέκλημαι*, B *βέβλημαι*. — V. 6. *τολμῶντ'* Hermann, vulgo *τολμῶντες*. — *καὶ ξίφος* om. Eust. — V. 7. *πρόβλημα* L Cant., *πρόβλημά τι* ABC, om. Eust. una cum voce *χρωτός*. — V. 8. *πεπτηῶτες* Eust., *πεπτηότες* Ath. — *ἁμόν* Hermann, vulgo *ἐμόν*, Goettling *ἀμῖν*. — V. 9. lacunam indicavit Hermann, quam Goettling inserto *ἀφαμιῶται* sibi redintegravisse visus est. — *προσκυνεῦντί με* scripsi, vulgo *κυνέοντι*, Hermann *κυνεῦντί τε*. Eust. interpretatur *ἤγουν προσκυνοῦσί με ὡς δεσπότην καὶ προσφωνοῦσι μέγαν βασιλέα*. — V. 10. *βασιλῆα* scripsi, cum in libris sit *βασιλέα*, auctore Hermanno. — *φωνέοντες* ABCP, *φωνέοντι* VL Cant. Eust.

Scol. 29. Aristoph. Vesp. 1243: *Μετὰ τοῦτον Αἰσχίνης ὁ Σέλλου δέξεται ἀνὴρ σοφὸς καὶ μουσικός, κᾆτ' ᾄσεται· Χρήματα καὶ βίαν Κλειταγόρᾳ τε κἀμοὶ μετὰ Θετταλῶν.* Correxi *βίον* et *Θεσσαλῶν*. Ceterum Schol. ad h. loc. *Κλειταγόρας μέλος λέγουσι τὸ εἰς αὐτὴν Κλειταγόραν, ἥ τις ἐγένετο ποιήτρια Θετταλή τις γυνή . . . . ἐκ σκολιοῦ τινός ἐστιν· Ἀθηναίοις δὲ Θετταλοὶ συνεμάχησαν ἐν τῷ πρὸς τοὺς τυράννους πολέμῳ.* et supra ad v. 1239: *Ἡρόδικος δὲ ἐν τοῖς κωμῳδουμένοις καὶ τὸν*

* 30.

⏒ – ⏒ ⏑ – ⏒ ⏑ – ⏒ ⏑ – ⏑ –
⏒ ⏑ – ⏑ – ⏑ ⏑ – ⏑ – –

Οὐ χρὴ πόλλ' ἔχειν θνητὸν ἄνθρωπον, ἀλλ' ἐρᾶν,
καὶ κατεσθίειν· σὺ δὲ κάρτα φείδῃ.

Ἄδμητον ἀναγέγραφε, παραθεὶς τὰ τοῦ Κρατίνου ἐκ Χειρώνων· Κλειταγόρας ᾄδειν, ὅταν Ἀδμήτου μέλος αὐλῇ. Ἀπολλώνιος δὲ ὁ Χαίριδος ὡς Ἀρτεμίδωρος (cod. Ven. *ἀρτεμιδώρου*) *φησι, περὶ μὲν τῆς Κλειταγόρας τῆς ποιητρίας, ὅτι ὡς ἀνδρώνυμον ἀναγέγραφε Κλειταγόραν, Ἀμμώνιος ἀπελέγχει αὐτόν, περὶ δὲ τοῦ Ἀδμήτου παρεῖχεν.* hoc scholion quomodo emendandum sit, incertum: Herodicus videtur Clitagoram et Admetum recensuisse, sed Ammonius utrum et ipse *Κλειταγόραν* tanquam *ἀνδρώνυμον* in indices retulerit, an Herodici errorem castigaverit, non ausim decernere. Clitagorae scolium commemoravit etiam Arist. Lysistr. 1236, ubi Schol.: *ἀπὸ Κλειταγόρας τῆς ποιητρίας· ἡ γὰρ Κλειταγόρα ποιήτρια ἦν Λακωνική, ἧς μέμνηται καὶ ἐν Δαναΐσιν Ἀριστοφάνης.* Hesych. *Κλειταγόρα, ᾠδῆς τι εἶδος καὶ (ποιήτρια) Λεσβία τὸ γένος.* Sed Clitagora an revera poesi operam navaverit prorsus incertum, hoc certe scolium non est ab ea profectum.

Scol. 30. Amipsias ap. Athen. XI 783 E: *Αὔλει μοι μέλος, Σὺ δ' ᾆδε πρός· τήνδ' ἐκπίομαι δ' ἐγὼ τέως· Αὔλει σὺ καὶ σὺ τὴν ἄμυστιν λάμβανε· Οὐ χρὴ κτλ.* Non videtur hoc ab Amipsia compositum esse, sed vetus scolium. — V. 1. *ἄνθρωπον*, Meineke *ἄνδρ'* vel *ἄνθρωπον ὄντ'*. — V. 2. *καὶ κατεσθίειν*, Dindorf *κἀσθίειν*. Deinde Meineke coni. *σὺ δὲ κάρτ' ἀφειδής*, et fuit fortasse sic in scolio, quod consulto mutaverit Amipsias. Hartung, qui negat optimos hos numeros probari posse, ita conformavit: *Οὐ χρὴ χρήματα πόλλ' ἔχειν | θνητὸν ἄνδρα ποτ', ἀλλ' ἐρᾶν | καὶ κατ. κτλ.*

Aliorum scoliorum memoria paene intermortua, velut unus Hesychius cantilenam huius generis, quae a vocabulo *Βορέας* inchoabatur, testatur: *Βορέας· σκολιόν τι οὕτως ᾀδόμενον* (Meineke *ἀρχόμενον*) *ἔλεγον.* Ac fortasse aliud scolium, quod item a primo vocabulo nomen traxit, significat comicus poeta fr. inc. com. CCCV: *Ὑμνεῖτο δ' αἰσχρῶς κλῶνα πρὸς καλὸν δάφνης ὁ Φοῖβος οὐ προσῳδά.*

ΙΟΥΛΟΣ.

1.

Πλεῖστον οὖλον ἵει, ἴουλον ἵει.

ΛΙΝΟΣ.

2.

Ὦ Λίνε (πᾶσι) θεοῖσιν
τετιμένε, σοὶ γὰρ ἔδωκαν
πρώτῳ μέλος ἀνθρώποισιν
φωναῖς λιγυραῖς ἀεῖσαι·
5 *Φοῖβος δὲ κότῳ σ' ἀναιρεῖ,*
Μοῦσαι δέ σε θρηνέουσιν.

Fr. 1. Athen. XIV 618 D: *Σῆμος δ' ὁ Δήλιος ἐν τῷ περὶ παιάνων φησί· Τὰ δράγματα τῶν κριθῶν αὐτὰ καθ' αὐτὰ προσηγόρευον ἀμάλας, συναθροισθέντα δὲ καὶ ἐκ πολλῶν μίαν γενόμενα δέσμην οὔλους καὶ ἰούλους· καὶ τὴν Δήμητρα ὁτὲ μὲν Χλόην, ὁτὲ δὲ Ἰουλώ· ἀπὸ τῶν οὖν τῆς Δήμητρος εὑρημάτων τούς τε καρποὺς καὶ τοὺς ὕμνους τοὺς εἰς τὴν θεὸν οὔλους καλοῦσι καὶ ἰούλους· δημήτρουλοι καὶ καλλίουλοι. Καὶ Πλεῖστον κτλ. ἄλλοι δέ φασιν ἐριουργῶν εἶναι τὴν ᾠδήν.* Eadem Eustath. 1162, 42: *καὶ ἐπιφώνημα ἐμμελὲς τό· πλεῖστον κτλ.* Cf. Sch. Apoll. Rh. I 972. — *οὖλον* semel Eust. PV, *οὖλον οὖλον* L. — *ἵει* AC a m. pr. Eust., *ἵει* PVL, *ἱὴ* C a m. sec. — *ἴουλον*, P *οὖλον*.

Fr. 2. Schol. Hom. Il. σ 570: *Ἔστι δὲ μέλος θρηνητικὸν ὁ λίνος μετ' ἰσχνοφωνίας ᾀδόμενος . . . ἐθρηνεῖτο γὰρ οὗτος παρὰ τῶν Μουσῶν οὕτως· Ὦ Λίνε θεοῖς τετιμημένε, σοὶ γὰρ πρώτῳ μέλος ἔδωκαν ἀθάνατοι ἀνθρώποισι φωναῖς λιγυραῖς ἀεῖσαι· Φοῖβος δέ σε κότῳ ἀναιρεῖ, Μοῦσαι δέ σε θρηνέουσιν.* quae correxi, ita quidem ut *πᾶσι* adderem, quod saepe excidit, estque in epigrammate ad imitationem huius cantilenae composito, et *ἀθάνατοι* eiicerem, quod ex isto epigrammate irrepsit. — V. 5 restituit Schneidewin. — Carmen hoc, quamvis non sit antiquissimum, tamen antiquitatis speciem prae se fert: deprehendimus hic exemplum metri, quod apud Graecos antiquissimum fuit, unde *hexametri* quoque origines sunt repetendae:

⏖ –́ ⏑ ⏑ – ⏔ – ⏓

vel

–́ ⏑ ⏑ –́ ⏔ – ⏓

semper autem bini paroemiaci, ut fit in popularibus carminibus, copulantur.

ΥΜΝΟΣ ΕΙΣ ΑΡΤΕΜΙΝ. 1027

3.

Ἄρτεμι, σοί μέ τι φρὴν ἐφίμερον
ὕμνον υεναι τε ὅθεν
. . . .
Ἁ δέ τις ἄλλα χρυσοφάεννα
κρέμβαλα χαλκοπάραα χερσίν.

ΥΜΝΟΣ ΕΙΣ ΑΦΡΟΔΙΤΗΝ.

4.

Ἀνάβαλ' ἄνω τὸ γῆρας,
ὦ καλὰ Ἀφροδίτα.

Schneidewin haec Melanippidae tribuit, quoniam idem schol. paulo ante dicit: *Ἡ κατὰ Λίνον ἱστορία παρὰ Φιλοχόρῳ ἐν τῇ ιθ' καὶ παρὰ Μελανιππίδῃ·* a cuius poesi isti versus prorsus abhorrent. Ad hanc veterem autem cantilenam compositi sunt hexametri ap. Schol. Hom. Eust. 1163, 59. Eudoc. 277:

Ὦ Λίνε, πᾶσι θεοῖσι τετιμένε, σοὶ γὰρ ἔδωκαν
ἀθάνατοι πρώτῳ μέλος ἀνθρώποισιν ἀεῖσαι
ἐν ποδὶ δεξιτερῷ· Μοῦσαι δέ σε θρήνεον αὐταί
μυρόμεναι μολπῇσιν ἐπεὶ, λίπες ἡλίου αὐγάς.

dicit autem Eust. *ἐπίγραμμα*, item Cram. Ant. Par. III 289, 7, ubi perhibetur: *ἐπιγραφή ἐστιν ἐν Θήβαις.* Scholiasta praeterea Orphicum carmen memorat in Lini honorem conditum: *ἥ τε καλουμένη Σφαῖρα ποίημά ἐστιν* (Eust. 1163, 57 *ποιημάτιον*) *εἰς τὸν Λίνον, ἀναφέρεται δὲ εἰς Ὀρφέα:* et ad hoc poema fortasse quattuor isti hexametri sunt referendi, quorum versuum auctor, cum dicit Linum primum cecinisse carmen *ἐν ποδὶ δεξιτερῷ*, videtur indicare, versum hexametrum a Lino esse repertum, ut possis coniicere, carmen illud, quod schol. *Σφαῖραν* inscriptum fuisse testatur, a Persino fuisse fictum, vid. Mall. Theodor. ap. Gaisfordium script. lat. rei metr. 537: „Metrum dactylicum hexametrum inventum primitus ab Orpheo Critias asserit, Democritus a Musaeo, Persinus a Lino, permulti ab Homero.“ qui Persinus apud Eubulum Atarnitem vitam aliquamdiu degit, itaque Hermiae et Aristotelis aequalis fuit, vid. Pollux IX 93. Ab hoc Orphico carmine diversum eiusdem nominis poematium, quod Schol. Hephaest. p. 54 memorat: *ἔστι δὲ καὶ Σφαῖρα καὶ Θρόνος σύγγραμμα καλούμενον*, quae figurata fuerunt carmina, haud dubie Alexandrini alicuius poetae, fortasse Simmiae.

Fr. 3. Athen. XIV 636 D: *Κρέμβαλα· περὶ ὧν φησι Δικαίαρχος ἐν τοῖς περὶ τοῦ Ἑλλάδος βίου ἐπιχωριάσαι φάσκων ποτὲ καθ' ὑπερβολὴν εἰς τὸ προσορχεῖσθαί τε καὶ προσᾴδειν ταῖς γυναιξὶν ὄργανά τινα ποια, ὧν ὅτε τις ἅπτοιτο τοῖς δακτύλοις, ποιεῖν λιγυρὸν ψόφον· δηλοῦσθαι δ' ἐν τῷ τῆς Ἀρτέμιδος ᾄσματι, οὗ ἐστιν ἀρχή· Ἄρτεμι . . . χερσίν.* Facile apparet duo diversa fragmenta afferri. — V. 1. *ἐφίμερον* AB, *ἥμερον* PVL. — V. 2. *ὕμνον* L, *ὕπνον* PV. — *υεναι* A, *ὑέναι* B, *ἰέ*[illegible] PVL. — *ὅθεν* BVL, *ὅθε* P. Videtur scribendum: *σοί μ' ἐπὶ φρὴν ἐ*[illegible] *μερον ὕμνον ὑφαινέμεναι πόθεεν.* — V. 3. *ἅ δέ τις*, P *ἀδέ* [illegible] vulgo *ἀδέ τις*. — *ἄλλα χρυσοφάεννα* scripsi, vulgo *ἀλλὰ χρυσοφαι*[illegible] — V. 4. *χαλκοπάραα*, A a m. sec. *χαλκοπάρηα*, a m. pr. *χαλκοπάραα* [illegible] PVL. — *χερσίν*, conieci *χεροῖν*.

Fr. 4. Plut. Quaest. Symp. III 6, 4: *ἀλλὰ καὶ προσευχόμεθα* [illegible] *πουθεν αὐτῇ λέγοντες ἐν τοῖς θεῶν ὕμνοις· ἀνάβαλε κτλ.*

ΕΙΣ ΔΙΟΝΥΣΟΝ. [illegible]

5.

Καλεῖτε θεόν.
Σεμελήϊ᾽ Ἴακχε πλουτοδότα.

ΕΙΣ ΔΙΟΝΥΣΟΝ.

6.

Ἐλθεῖν. ἥρω Διόνυσε.
Ἀλείων ἐς ναὸν
ἁγνὸν σὺν Χαρίτεσσιν.
ἐς ναὸν
τῷ βοέῳ ποδὶ θύων.
ἄξιε ταῦρε,
ἄξιε ταῦρε.

---

7. [illegible]

(Ἀνάγετε πάντες.) ἀνάγετ᾽, εὐρυχωρίαν
τῷ θεῷ ποιεῖτε·

Ἀφροδίτα Dübner, v. *Ἀφροδίτη*. Quod est apud Hesychium *ἀναβαλλαγόρας· φάρμακόν τι καὶ λίθος ἐν Σάμῳ* fortasse corrigendum *ἀναβαλλόγηρας*, quod ad exemplum vocis *ἐρυσιπελίας* est novatum, lapidi enim Samio, cuius magna vis adversus varia mala esse perhibebatur, etiam haec virtus potuit attribui.

Fr. 5. Schol. Aristoph. Ran. 479: *Ἐν τοῖς Ληναϊκοῖς ἀγῶσι τοῦ Διονύσου ὁ δᾳδοῦχος κατέχων λαμπάδα λέγει· καλεῖτε θεόν· καὶ οἱ ἐπακούοντες βοῶσι· Σεμελήϊ᾽ Ἴακχε πλουτοδότα* (ubi malim *Ἴακχ᾽ ὦ*, ut numerus anapaestus restituatur) *ἢ πρὸς τὸ ἐν ταῖς θυσίαις ἐπιλεγόμενον· ἐπειδὰν γὰρ σπονδοποιήσωνται, ἐπιλέγουσιν Ἐκκέχυται· κάλει θεόν.*

Fr. 6. Plut. Quaest. Graec. 36, 7: *Διὰ τί τὸν Διόνυσον αἱ τῶν Ἠλείων γυναῖκες ὑμνοῦσαι παρακαλοῦσι βοέῳ ποδὶ παραγίγνεσθαι πρὸς αὐτάς· ἔχει δ᾽ οὕτως ὁ ὕμνος· ἐλθεῖν ... θύων, εἶτα δὶς ἐπᾴδουσιν· Ἄξιε ταῦρε.* — V. 1. *ἥρω*, non ausus sum *ἥρως* substituere, quamquam etiam *Διόνυσον* scribi poterat. — V. 2. *Ἀλείων* scripsi, ut duo sint molossi, cf. v. 4. Welcker *Ἅλιον*, vulgo *ἅλιον*. De Bacchi cultu apud Eleos eiusque festo *Θυῖα* vid. Paus. VI 26, 1. — V. 3. *σὺν*, Leutsch, qui in Philologo XI 730 de numeris huius cantilenae disseruit, *ἅμα* coniecit, v. 4 redintegrat *Ἀλείων ἐς ναόν*. — V. 6 et 7 Cobet *Νάξιε* restituendum censet, non recte.

Fr. 7. *Ithyphallorum* cantilenam affert Semus ap. Athen. XIV 622 B: *Οἱ δὲ ἰθύφαλλοι ... ὅταν κατὰ μέσην τὴν ὀρχήστραν γένωνται, ἐπιστρέφουσιν εἰς τὸ θέατρον λέγοντες· ἀνάγετε εὐρυχωρίαν κτλ.* — V. 1. *ἀνάγετε πάντες* ad versum redintegrandum adieci, *ἀνάγετε κῶμον* addidit Tyrwhitt, rectius Meineke *ἀνάγετ᾽ ἀνάγετε πάντες* coniecit, praestare videtur quod dedi *ἀνάγετε πάντες, ἀνάγετ᾽*. — V. 2. *τῷ θεῷ*

ἐθέλει γὰρ ὁ θεὸς ὀρθὸς ἐσφυδωμένος
διὰ μέσου βαδίζειν.

8.

Σοί, Βάκχε, τάνδε μοῦσαν ἀγλαΐζομεν
ἁπλοῦν ῥυθμὸν χέοντες αἰόλῳ μέλει,
καινάν, ἀπαρθένευτον, οὔτι ταῖς πάρος
κεχρημέναν ᾠδαῖσιν, ἀλλ' ἀκήρατον
κατάρχομεν τὸν ὕμνον.

9.

Πάριθι, κόρη, γέφυραν·
ὅσον οὔπω τρὶς πολέουσιν.

10.

Ἱερὸν ἔτεκε πότνια κοῦρον
Βριμὼ βριμόν.

ποιεῖτε Porson, codd. *ποιεῖτε τῷ θεῷ*. — V. 3. *ἐθέλει*, Meineke *θέλει*. — *ἐσφυδωμένος* scripsi atque sic etiam Meineke, libri *ἐσφυρωμένος*.

Fr. 8. *Phallophororum* cantilenam servavit Semus ap. Athen. XIV 622 E: *Οἱ δὲ φαλλοφόροι . . . παρέρχονται οἱ μὲν ἐκ παρόδου, οἱ δὲ κατὰ μέσας τὰς θύρας βαίνοντες ἐν ῥυθμῷ καὶ λέγοντες· Σοὶ Βάκχε κτλ.* — V. 1. *σοί*, B *σύ*. — V. 3. *καινάν* Hemsterhuys, codd. *καὶ μάν*. — V. 4. *κεχρημέναν ᾠδαῖσιν* Porson, A *κεχρημεηαν ωδαισιν*, B *κέχρημε κανώδησιν*, P *κέχρημεν κανώδασιν*, VL *κεχρήμεθα πανώδασιν*. — *Pratinae* sine idonea ratione tribuit Porson.

Fr. 9. Proclus in Hesiodi Op. 389: *οἱ δὲ ἀρχαῖοι καὶ πρωϊαίτερον ἔσπειρον, καὶ δῆλον ἐκ τῶν Ἐλευσινίων τελετῶν.* ubi A haec addit: *ἐν οἷς ἔλεγε τοῦ π^ε θι κόρη γεφύραν ὅσον οὔπω· τριπόλεον δέ.* Scribendum *ἐν οἷς ἐλέγετο· πάριθι κόρη γέφυραν· ὅσον οὔπω τρὶς πολέουσιν.* i. e. *mox ter agros arant*, quae ad *Προηρόσια* referenda sunt, quae mense Boedromione celebrabantur, cf. Aug. Mommsen Heortologie p. 75 seq. et 220 seq.

Fr. 10. Origenes (Hippolyt.) adv. Haeret. p. 115: *ὁ δὲ στάχυς οὗτός ἐστι καὶ παρὰ Ἀθηναίοις ὁ παρὰ τοῦ ἀχαρακτηρίστου φωστὴρ τέλειος μέγας, καθάπερ αὐτὸς ὁ ἱεροφάντης . . . νυκτὸς ἐν Ἐλευσῖνι ὑπὸ πολλῷ πυρὶ τελῶν τὰ μεγάλα καὶ ἄρρητα μυστήρια βοᾷ καὶ κέκραγε λέγων· ἱερὸν ἔτεκε πότνια κοῦρον Βριμὼ βριμή· τουτέστιν ἰσχυρὰ ἰσχυρόν.* ubi *βριμόν* scribendum esse vidit etiam Miller. — Alias cantilenas in mysticis sacris frequentatas praetermisi, quoniam maximam partem satis sunt recentes, velut quod est apud Firm. Mat. 27:

Χαῖρε νυμφίε, χαῖρε νέον φῶς.

et ibidem 30:

Εὐοῖ δικέρως, δίμορφε.

11.

Τίς τῇδε; πολλοὶ κἀγαθοί.
Ἐκκέχυται· κάλει θεόν.

12.

Ἥλιος Ἀπόλλων, ὁ δέ γ' Ἀπόλλων ἥλιος.

13.

Ἀχαΐνην στέατος ἔμπλεων τράγον.

14.

Ἄρχει μὲν ἀγὼν τῶν καλλίστων
ἄθλων ταμίας, καιρὸς δὲ καλεῖ
μηκέτι μέλλειν.

Fr. 11. In principio libationis utebantur versu iambico:

Τίς τῇδε; πολλοὶ κἀγαθοί.

quem morem respexit Aristoph. Pac. 968: *εὐχώμεθα· τίς τῇδε· ποῦ ποτ' εἰσὶ πολλοὶ κἀγαθοί.* ubi schol. *Σπένδοντες γὰρ ἔλεγον· τίς τῇδε; ἀντὶ τοῦ τίς πάρεστιν, εἶτα οἱ παρόντες εὐφημιζόμενοι ἔλεγον· πολλοὶ κἀγαθοί. τοῦτο δὲ ἐποίουν οἱ σπένδοντες, ἵνα οἱ συνειδότες τι ἑαυτοῖς ἄτοπον ἐκχωροῖεν τῶν σπονδῶν.* Eadem Appendix Proverb. IV 90. Peracta autem libatione precabantur, ut schol. Arist. Ran. 479 docet: *ἢ πρὸς τὸ ἐν ταῖς θυσίαις ἐπιλεγόμενον· ἐπειδὰν γὰρ σπονδοποιήσωνται, ἐπιλέγουσιν· ἐκκέχυται· κ. θ.*

Fr. 12. Heraclit. Allegor. Hom. c. 6: *καὶ τὸ δημῶδες ἄνω καὶ κάτω θρυλλούμενον· ἥλιος κτλ.* Huc refero, quod Proclus Theol. Platon. VI 12 scripsit: *ὁ Ἥλιος Ἀπόλλων ὑμνούμενος χαίρει διαφερόντως, καὶ Ἀπόλλων Ἥλιος ἀνακαλούμενος.* quibus Lobeck (Aglaoph. I 111) anacleticum theurgorum hymnum notari existimavit, non recte, neque tamen haec cantilena antiquitatis speciem prae se fert.

Fr. 13. Athen. III 109 F: *Ἀχαΐνας· τούτου τοῦ ἄρτου μνημονεύει Σῆμος ἐν ὀγδόῳ Δηλιάδος λέγων ταῖς θεσμοφόροις γίγνεσθαι· εἰσὶ δὲ ἄρτοι μεγάλοι, καὶ ἑορτὴ καλεῖται Μεγαλάρτια, ἐπιλεγόντων τῶν φερόντων· Ἀχαΐνην* (*ἀχαίνου* B) *στ. ἔμπλεων* (sic AD, *ἐμπλεῶ* B, *ἔμπλεον* VL) *τράγον.* hanc imperativi formam esse pro *τράγε* docuit Meineke ad Athen. Syracusanis hanc formam vindicat Choeroboscus, vid. indicem v. *εἶπον* et *Συρακούσιοι.*

Fr. 14. 15. 16 reliquiae sunt cantilenae, qua praeco in ludis gymnicis utebatur. Disputavit de hac cantilena Haupt: *de pede a praeconibus recitato* in Instit. Archeol. nuove Memorie Lips. 1865 p. 209 seq.

Fr. 14. Iulian. Caesar. p. 318: *Καὶ ὁ Σειληνὸς δηχθεὶς ἐσιώπα καὶ τοῖς ἀγωνιζομένοις ἐκ τούτου τὸν νοῦν προσεῖχεν· Ἑρμῆς δὲ ἐκήρυττεν· Ἄρχει μὲν ἀγὼν ὁ τῶν ... μέλλειν.* quamquam Iulianus in ampla cantilena, quae sequitur, etiam alia ex praeconis anapaestis videtur adhibuisse, velut quod continuo subsequitur: *ἀλλ' ἀκούοντες τὴν ἡμετέραν κήρυκα βοάν*, fuit opinor:

15.

Βαλβῖδι ποδῶν
θέντες πόδα παρ πόδα (θεῖτε.)

16.

Λήγει μὲν ἀγὼν τῶν καλλίστων
ἄθλων ταμίας, καιρὸς δὲ καλεῖ
μηκέτι μέλλειν.

17.

Πόῤῥω γάρ, ὦ παῖδες, πόδα

μηκέτι μέλλειν· ἀλλ' ἀΐοντες
τὴν ἡμετέραν κήρυκα βοάν.

item novissima: *Νίκης δὲ τέλος Ζηνὶ μελήσει·* ταῦτα τοῦ Ἑρμοῦ κηρύττοντος ἐκληροῦντο. nam hic versus:

Νίκης δὲ τέλος Ζηνὶ μελήσει.

praeconis voci satis est conveniens.

Fr. 15. Moeris p. 193, 4: *Βαλβῖδες αἱ ἐπὶ τῶν ἀφέσεων βάσεις ἐγκεχαραγμέναι, αἷς ἐπέβαινον αἱ δρομεῖς, ἵν' ἐξ ἴσου ἵσταιντο* (cf. Harpocratio v. *βαλβίς*). *διὸ καὶ οἱ κήρυκες ἐπὶ τῶν τρεχόντων· βαλβῖδα ποδὸς θέτε πόδα παρὰ πόδα, καὶ νῦν ἔτι λέγουσιν. Ἀττικοί, ὕσπληξ δὲ κοινόν.* ita Bekkerus ex cod. Coislin. edidit neque variant libri apud Piersonum, nisi quod *βαλβίδα πόδας θέντες* codd. Pricaei et Vossii exhibent, Gronovii autem liber *παρ' ὃ*. Correxi haec, nisi initio *βαλβῖσι ποδῶν* malis, lenius foret *βαλβῖδι ποδός*, nec tamen satis commodum. Pierson edidit Salmasio auctore *βαλβῖδ'· ἀπόδος, θέτε πόδα παρὰ πόδα*, Hauptius dimetrum anapaesticum restituit:

Βαλβῖδα ποδὸς θέτε πόδα παρὰ πόδα.

verum neque numeri apti, nam anapaestis solutioribus nullus hic locus, neque satis intelligo, unde accusativus *βαλβῖδα* sit suspensus. Tenendum autem est in singulis certaminibus hoc praeconium pro rei natura variatum esse; his quidem versibus utebatur praeco, cum cursores adhortaretur.

Fr. 16 Lucianus in Demonactis vita 65: *ὅτε δὲ συνῆκεν οὐκέθ' οἷός τε ὢν αὑτῷ ἐπικουρεῖν, εἰπὼν πρὸς τοὺς παρόντας τὸν ἐναγώνιον τῶν κηρύκων πόδα· Λήγει . . . μέλλειν. καὶ πάντων ἀποσχόμενος ἀπῆλθε τοῦ βίου φαιδρός.* Initium tantum cantilenae adscripsit Lucianus, praeco alia addebat, ut indicat Philostr. de gymn. c. 7 (Cobeti editionem non licuit inspicere): *εἰ δὲ μὴ ῥαθύμως ἀκούεις τοῦ κήρυκος, ὁρᾷς ὡς ἐπὶ πάντων κηρύττει λήγειν μὲν τὸν τῶν ἄθλων ταμίαν ἀγῶνα, τὴν σάλπιγγα δὲ τὰ τοῦ Ἐνυαλίου σημαίνειν, προκαλουμένην τοὺς νέους εἰς ὅπλα· κελεύει δὲ τουτὶ τὸ κήρυγμα καὶ τοὔλαιον ἀραμένους ἐκ ποδῶν ποι φέρειν, οὐχ ὡς ἀλειφομένους, ἀλλ' ὡς πεπαυμένους τοῦ ἀλείφεσθαι.* Cantilenam hanc Lucianus *τὸν ἐναγώνιον τῶν κηρύκων πόδα*, Galenus de motu muscul. II 9 et in Hippocr. Epidem. IV 24 etiam brevius *τὸν καλούμενον πόδα (τῶν κηρύκων)* appellat, ubi *πούς* neque pedem neque versum (ut est apud Arist. Ran. 1322), sed *periodum*, *systema* significat, quemadmodum *κομμάτιον*, quando parabasis partem significat, item latius patet. Quae Hauptius proposuit, prorsus improbanda sunt.

Fr. 17. Lucian. Saltat. 10: *Τοιγαροῦν καὶ τὸ ᾆσμα, ὃ μεταξὺ ὀρχούμενοι (οἱ Λάκωνες) ᾄδουσιν, Ἀφροδίτης ἐπίκλησίς ἐστιν καὶ*

μετάβατε καὶ κωμάξατε
βέλτιον.

18.

Ἄμμες πόκ' ἦμες ἄλκιμοι νεανίαι.
Ἄμμες δέ γ' εἰμές· αἰ δὲ λῇς, αὐγάσδεο.
Ἄμμες δέ γ' ἐσσόμεσθα πολλῷ κάρρονες.

19. 1030

Ποῦ μοι τὰ ῥόδα, ποῦ μοι τὰ ἴα, ποῦ μοι τὰ καλὰ σέλινα;
Ταδὶ τὰ ῥόδα, ταδὶ τὰ ἴα, ταδὶ τὰ καλὰ σέλινα.

20.

Χαλκῆν μυῖαν θηράσω.
Θηράσεις, ἀλλ' οὐ λήψει.

Ἐρώτων, *ὡς συγκωμάζοιεν αὐτοῖς καὶ συνορχοῖντο· καὶ θάτερον δὲ τῶν ᾀσμάτων — δύο γὰρ ᾄδεται — καὶ διδασκαλίαν ἔχει ὡς χρὴ ὀρχεῖσθαι· πόρρω γάρ φασιν* (*φησιν*), *ὦ παῖδες κτλ. τουτέστιν ἄμεινον ὀρχήσασθε*, ubi *κωμάξατε* Solanus, *κομάξατε* a, *κωμάσατε* codd. Cf. Hesych. *κωμάδδειν· ὀρχεῖσθαι.*

Fr. 18. Plut. vit. Lycurg. 21: *Τριῶν γὰρ χορῶν κατὰ τὰς τρεῖς ἡλικίας συνισταμένων ἐν ταῖς ἑορταῖς, ὁ μὲν τῶν γερόντων ἀρχόμενος ᾖδεν· Ἄμμες πόκ' κτλ. ὁ δὲ τῶν ἀκμαζόντων ἀμειβόμενος ἔλεγεν· Ἄμμες δέ γ' κτλ. ὁ δὲ τρίτος ὁ τῶν παίδων· Ἄμμες κτλ.* Possis ad *Tyrtaeum* referre, siquidem Pollux IV 107 dicit: *τριχορίαν δὲ Τύρταιος ἔστησε, τρεῖς Λακώνων χορούς, καθ' ἡλικίαν ἑκάστην, παῖδας ἄνδρας γέροντας.* Iidem versus Instit. Lac. 15 et de se ipsum citra inv. laud. 15 (ubi inverso ord. v. 1. 2. 3) leguntur. — V. 1. *ἄμμες*, Plut. secundo loco *ἄμες* (Xyl. *ἄμμες*). In proecdosi *ἁμὲς* ubique scripsi. — *πόκ'* ACS primo Plut. loco, v. *ποτ'*. — *ἦμες*, tertio loco vulgo *ἡ μέν*, sed Mosc. 1, 2. *ἡμες*, primo loco FaL *ἤμεν*. — V. 2. *δέ γ'*, Keil coni. *δ' ἔτ'*. — *εἰμές* Plutarchi primo loco tantum X (*εἰμὲν* ACS, *εἶμεν* ia), secundo *ἐσμέν*, tertio *εἰμέν*. — *αὐγάσδεο* duobus locis, *πεῖραν λαβὲ* primo loco, non recte Rauchenstein *πειράσδεο* coniecit. — V. 3. *ἐσσόμεσθα* primo loco AC, v. *ἐσόμεσθα*. — *πολλῷ* Steph., codd. *πολλῶν* (C *πολλὸν*), qui etiam *κρείσσονες* praebent. Cf. praeterea schol. Platon. p. 223, ubi v. 2. *ἔνεσμεν, ἢν δὲ λῇς, πεῖραν λαβέ.* Diogen. II 30 et V 3. Zenob. I 82. Greg. Cypr. I 48. Apost. II 72. Arsen. p. 51. Conferas denique epigramma Laconicum ap. Plut. Consol. c. 15 et Arsen. 369:

Νῦν ἄμμες, πρόσθ' ἄλλοι ἐθάλλεον (*ἐθάλεον*), *αὐτίκα δ' ἄλλοι,*
ὧν ἄμμες γενεὰν οὐκέτ' ἐποψόμεθα.

Fr. 19. Athen. XIV 629 E: *Ἦν δὲ καὶ παρὰ τοῖς ἰδιώταις ἡ καλουμένη ἄνθεμα· ταύτην δὲ ὠρχοῦντο μετὰ λέξεως τοιαύτης μιμούμενοι καὶ λέγοντες· Ποῦ κτλ.* — V. 2. om. PVL, add. ABC et epit. Hoesch. — *ταδὶ τὰ ῥόδα* censor Ienensis, codd. *ποῦ μοι ταδὶ τὰ ῥόδα κτλ.*

Fr. 20. Poll. IX 123: *Ἡ δὲ χαλκῆ μυῖα, ταινίᾳ τὼ ὀφθαλμὼ περισφίγξαντος ἑνὸς παιδός, ὁ μὲν περιστρέφεται κηρύττων· χαλκῆν μ. θ., οἱ δὲ ἀποκρινάμενοι· θηράσεις κτλ. σκύτεσι βυβλίνοις αὐτὸν παίουσιν, ἕως τινὸς αὐτῶν λάβηται.*

21.

A. *Χέλει χελώνη, τί ποῖεις ἐν τῷ μέσῳ;*
B. *Μαρύομ' ἔρια καὶ κρόκην Μιλησίαν.*
A. *Ὁ δ' ἔκγονός σου τί ποῖων ἀπώλετο;*
B. *Λευκᾶν ἀφ' ἵππων εἰς θάλασσαν ἅλατο.*

22 A.

Ἔξεχ', ὦ φίλ' Ἥλιε.

22 B.

Ἐξάγω χωλὸν τραγίσκον.

23. 1031

Ἴωμεν εἰς Ἀθήνας.

24.

Μακραὶ δρύες, ὦ Μέναλκα.

Fr. 21. Pollux IX 125: *Ἡ δὲ χελλ χελώνη παρθένων ἐστὶν ἡ παιδιά, παρόμοιόν τι ἔχουσα τῇ χύτρᾳ· ἡ μὲν γὰρ κάθηται, καὶ καλεῖται χελώνη, αἱ δὲ περιτρέχουσιν ἀνερωτῶσαι· χελλ χελ.... ἡ δὲ ἀποκρίνεται· ἔρια μαρύ.... εἶτ' ἐκεῖναι πάλιν ἐκβοῶσιν· ὁ δ' ἔκγονός σου ... ἡ δέ φησι· λευκᾶν κτλ.* Eadem Eust. Od. 1914, 56. — V. 1 *χέλει χελώνη* Eustath., qui dicit: *ἔστι δ' ἐν τούτοις τὸ χέλει προστακτικὸν δῆθεν, παρηχούμενον τῇ χελώνῃ.* Nisi forte malis *χελεῦ*, vid. Hesych. *χελεύς· κιθάρα* et *χελεῦ· χελώνη*. Pollux *χελί*, sed Bekker *χελιχελώνη*. Simile est *πόνῳ πόνηρος*, vel rectius *πονωπόνηρος* ap. Arist. Vesp. 466. Lys. 350. — *ποῖεις* Meineke et v. 3 *ποῖων*, vid. Ahrens D. Dor. 208, nisi praestat *ποϊεῖς* et *ποϊῶν*. Permirae sunt formae quae extant in titulis Cnidiis, quos Newton edidit, *ΠΟΙΣΑΙ* et *ΠΕΠΟΙΚΗ*. — V. 2. *μαρύομ' ἔρια* Meineke, v. *ἔρια μαρύομαι*, idem praeterea *κρόκαν* scripsit. — V. 3. *ἔκγονος*, Eust. *ἔγγονος*.

Fr. 22 A. Pollux IX 123: *Ἡ δὲ ἔξεχ' ὦ φίλ' ἧλιε παιδιὰ κρότον ἔχει τῶν παίδων σὺν τῷ ἐπιβοήματι τούτῳ, ὁπόταν νέφος ἐπιδράμῃ τὸν θεόν, ὅθεν καὶ Στράττις ἐν Φοινίσσαις· εἶθ' ἥλιος μὲν πείθεται τοῖς παιδίοις, ὅταν λέγωσιν, ἔξεχ' ὦ φίλ' ἥλιε.* Cf. Aristoph. Insul. fr. 4. Eust. Il. 881, 42. Athen. XIV 619 B: *Ἡ δὲ εἰς Ἀπόλλωνα ᾠδὴ φιληλιάς, ὡς Τελέσιλλα παρίστησιν.*

Fr. 22 B. Hesychius: *ἐξάγω χωλὸν τραγίσκον· παιδιᾶς εἶδος παρὰ Ταραντίνοις.* Exordium hoc cantilenae puerilis.

Fr. 23. Plut. Quaest. Graec. c. 35: *Τί δήποτε ταῖς κόραις τῶν Βοττιαίων ἔθος ἦν λέγειν χορευούσαις· Ἴωμεν εἰς Ἀθήνας.*

Fr. 24. Athen. XIV 619 C: *Κλέαρχος δ' ἐν πρώτῳ Ἐρωτικῶν νόμιον καλεῖσθαί τινά φησιν ᾠδὴν ἀπ' Ἠριφανίδος, γράφων οὕτως· Ἠριφανὶς ἡ μελοποιός, Μενάλκου κυνηγετοῦντος ἐρασθεῖσα, ἐθήρευε μεταθέουσα ταῖς ἐπιθυμίαις· φοιτῶσα γὰρ καὶ πλανωμένη πάντας τοὺς ὀρείους ἐπεξῄει δρυμούς, ὡς μῦθον εἶναι τοὺς λεγομένους Ἰοῦς δρόμους, ὥστε μὴ μόνον τῶν ἀνθρώπων τοὺς ἀστοργίᾳ διαφέροντας, ἀλλὰ καὶ τῶν θηρῶν τοὺς ἀνημερωτάτους συνδακρῦσαι τῷ πάθει λαβόντας αἴσθησιν ἐρωτικῆς ἐλπίδος· ὅθεν ἐποίησέ τε καὶ ποιήσασα περιῄει κατὰ τὴν ἐρημίαν, ὥς φασιν, ἀναβοῶσα καὶ ᾄδουσα τὸ καλούμενον νόμιον, ἐν ᾧ ἐστι· Μακραὶ δρύες, ὦ Μέναλκα* (B *Μενάλκαι*). *Eriphanis* cur non sit recipienda in numerum poetarum, facile apparet.

25.

Ἐκκόρει, κόρη κορώνη.

26.

Στρίγγ' ἀποπομπεῖν
νυκτιβόαν (γᾶς),

Fr. 25. Horapollo Hierogl. I 8: *Τῆς δὲ τοιαύτης αὐτῶν (τῶν κορωνῶν) ὁμονοίας χάριν μέχρι νῦν οἱ Ἕλληνες ἐν τοῖς γάμοις ἐκ κορὶ κορὶ κορωνη* (sic cod. Par. C, cf. codd. ap. Bachm. An. II 407.) *λέγουσιν ἀγνοοῦντες.* sed cod. Aug. et edd. *ἐκκορὶ κορὶ κορώνην*, codd. Par. AB cod. Mor. *κορώνη.* Adde Schol. Pind. Pyth. III 27: *κἀν τῷ βίῳ ἀκορεὶ* (cod. Gott. *εὐκορεῖ*) *ἀντὶ τοῦ κόρας* (cod. Gott. *κούρους*) *κορώνας. παροτρύνοντες δ'* (cod. Gott. *προτρεποντες*) *ἔνιοί φασιν· ἐκκορεὶ κόρους κορώνας* (cod. Gott. *ἐκκόρει κόρει κορώνας*). quae Boeckhio ex dittographia orta esse videntur: idem scripsit *ἐκκόρει, κόρει κορωνην· exorna, ornu cornicem.* Hermann Opusc. II 328: *κἂν τῷ βίῳ, ὡσπερεὶ ἀντὶ τοῦ κούρους, κορώνας παροτρύνοντες ἔνιοί φασιν· ἐκκόρει κόρην, κορώνη·* i. e. *devirgina virginem cornix.* Welcker Prometh. 397: *ἐκκόρει, κόρε, κορώνην.* Mihi leg. videtur: *κἀν τῷ βίῳ ἐκκορεῖν ἀντὶ τοῦ ὑποκουρίζεσθαι, καὶ κορώνας παροτρύνοντες ἔνιοί φασιν· ἐκκόρει, κόρη κορώνη.* Etenim quod *ὑποκουρίζεσθαι* vel *κουρίζεσθαι* dici solebat, vulgo dicebatur *ἐκκορεῖν*, vid. Hesych. *κουριζομέναις, ὑμεναιουμέναις, γαμουμέναις, διὰ τὸ λέγειν· σὺν κούροις τε καὶ κόραις· ὅπερ νῦν παρεφθαρμένως ἐκκορεῖν* (cod. *ἐκ κόρεν*) *λέγεται.* Haec explicatio etiam adhibenda huic cantilenae nuptiali, restituendum autem *ἐκκόρει, κόρη κορώνη, hymenaeum cane, virgo cornix,* quo nomine apte appellare licuit cornicem (quod Hesych. habet: *κυσθοκορώνη· νύμφη* ex comico poeta petitum videtur), nisi forte quis comparare malit *χέλει χελώνη*, quod extat supra. Ceterum ex eadem hac cantilena nuptiali fortasse etiam petitum est, quod exhibet Schol. Pind. et Hesych.:

Σὺν κόροις τε καὶ κόραις.

Resp. huc etiam Aelian. Hist. An. III 9: *Ἀκούω δὲ τοὺς πάλαι καὶ ἐν τοῖς γάμοις μετὰ τὸν ὑμέναιον τὴν κορώνην καλεῖν, σύνθημα ὁμονοίας τοῦτο τοῖς συνιοῦσιν ἐπὶ τῇ παιδοποιΐᾳ διδόντας.*

Fr. 26. Festus p. 314: (Strigem ut ait Verri)us Graeci *στρίγγα* ap(pellant), quod maleficis mulieribus nomen inditum est, quas volaticas etiam vocant. Itaque solent his verbis eas veluti avertere Graeci: *ΣΤΡΡΙΝΤΑ ΠΟΜΠΕΙΕΝ ΝΤΚΤΙΚΟΜΑΝ ΣΤΡΙΝΤΑΤΟΛΑΟΝ ΟΡΝΙΝ ΑΝΩΝΤΜΙΟΝ ΩΚΤΠΟΡΟΤΣ ΕΠΙ ΝΗΑΣ.* — V. 1. *ἀποπομπεῖν*, Turnebus *ἀποπέμπειν*, sed Hesychius *ἀποπομπεῖν τὸ ἀποπέμψασθαι καὶ ἀποκαθήρασθαι.* — V. 2. *νυκτιβόαν γᾶς* scripsi, ut versus aequalis sit proximis, *νυκτιβόαν* Turnebus, *νυκτικορώνην* Müller, quod nusquam legitur, neque aptum: *νυκτικόρακα* si numero conveniret, dici poterat: nam hanc avem sive noctuam (cf. Ungeri copias ad Valgium p. 13) strigis nomine significari veteres credebant, ut Hesychius testatur: at in vetere hac cantilena avis feralis proprium nomen additum fuisse non est verisimile, nam veteres ipsi ambigebant, ut Plinius docet H. N. XI 232: „Fabulosum arbitror de strigibus ubera eas infantium labris immulgere: esse in maledictis iam antiquis strigem convenit, sed quae sit avium constare non arbitror“. Recte igitur Turnebus *νυκτιβόαν* scripsit, quod Hesychius planissime confirmat: *Στρίγλος· τὰ ἐντὸς τοῦ κέρατος· νυκτίφοιτον· καλεῖται δὲ καὶ νυκτοβόα, οἱ δὲ νυκτοκόρακα.* quae glossa ex duabus coaluit, fuisse videtur: *στρίγγα· ὄρνεον νυκτίφοιτον· καλεῖται*

στρίγγ' ἀπὸ λαῶν,
ὄρνιν ἀνώνυμον (ἐχθρῶν)
ὠκυπόρους ἐπὶ νῆας.

27. 1032

Ὦ τί πάσχεις; μὴ προδῷς ἄμμ', ἱκετεύω·
πρὶν καὶ μολὲν κεῖνον, ἀνίστω·

δὲ καὶ *νυκτοβόας*. idem Hesych.: *γλαύξ· νυκτοβάς, πετεινὸν νυκτερινόν*, ubi ambigas, utrum *νυκτοβόας* an *νυκτοβαῦς* sit restituendum. — V. 3. *ἀπὸ λαῶν* Haupt, *ἀπὸ λαοῦ* Scaliger, *ἀλαῶπιν* Sopingius. — V. 4. *ἀνώνυμον* scripsi, i. e. *δυσώνυμον*, legebatur *ἀνωνύμιον*, quae forma alias non legitur, sed eam *ἐπωνύμιος* et fortasse *εὐωνύμιος* tuentur, sed hic certe *ἀνωνυμίαν* dicendum fuit: deinde autem ipsa sententia aliquid deesse arguit, nam permirum est, strigem navibus immitti, quod non satis commode Müller explanare studuit, itaque *ἐχθρῶν* adieci, ut hic versus novissimo sit par. — Frustra haec ad heroici numeri legem revocare conati sunt cum priores, ut Turnebus, Scaliger, Sopingius, tum Haupt *Στρίγγ' ἀποπέμπειν νυκτιβόαν, τὰν στρίγγ' ἀπὸ λαῶν, Ὄρνιν ἀνωνύμιον, στρίγγ' ὠκυπόρους ἐπὶ νῆας.* et Müller, qui scripsit *Στρίγγ' ἀποπομπεῖν, νυκτικορώνην στρίγγ' ἀπὸ λαῶν, Ὄρνιν ἀνώνυμον ὠκυπόρους ἐπὶ νῆας ἐλαύνειν.* — Aliae cantilenae superstitiosae vel heroicis versibus constant, velut quod Meineke ex Plinio adscripsit:

φεύγετε κανθαρίδες· λύκος ἄγριος ὔμμε διώκει.

vel numeris omnino non adstricta sunt, velut quod est apud Marcellum Empir. p. 279 ed. Steph.: *φεῦγε, φεῦγε· κριθή σε διώκει.* item quod Alexander Trall. X p. 296 ed. Steph. exhibet, *φεῦγε, φεῦγε, ἰού, χολή· ἡ κορύδαλος ἐζήτει* (quamquam hoc possis ad numeros revocare:

φεῦγε, φεῦγ', ἰού, χολή· ὁ κορύδαλλός σε ζητεῖ).

alia id genus; velut morbo averruncando fortasse etiam inserviebant graeca vocabula, quae exhibet frustulum chartae Aegyptiae, quod edidit Tischendorf cod. Sinait. tab. XX 7:

ЄΚΤΕΙΝЄΙ
ΠЄΡΙΚЄΦΑΛΑΙΑ
ΒΤΡCΑ
ЄΚΤΟC ЄΚΤΟC ΝΟC
CΤΝΧЄΙ
ΠωΓωΝ
ΗΙΘЄΟC
ΗΜΙΘЄΟC

vel denique admodum novicia sunt, velut apud Marcellum p. 307:

Εἶδον τριμερῆ χρύσεον Τοάναδον
καὶ ταρταροῦχον ἄκεσιν Τουσάναδον·
σῶσόν με σεμνέ, νερτέρων ὑπέρτατε.

ubi v. 2 *ἄκεσιν* deest in ed. Stephaniana, sed legitur in ed. Basil. — Item aliud trimetron ibidem p. 373:

Θεὸς κελεύει μὴ κύειν κῶλον πόνους.

Barbara autem et semibarbara carmina hinc omnino segreganda.

Fr. 27. Athen. XV 697 B: *Οὗτος γὰρ τὰς καπυρωτέρας ᾠδὰς ἀσπάζεται μᾶλλον τῶν ἐσπουδασμένων· οἷαί εἰσιν αἱ Λοκρικαὶ καλούμεναι, μοιχικαί τινες τὴν φύσιν ὑπάρχουσαι, ὡς καὶ ἥδε· Ὦ κτλ.* — V. 1. *ἥδε· ὦ τί* Dindorf, *ἡδέω τι* A, *ἡδεῶ τί* B, *ἡδέω τί* P, *ἡδέως τι* VL. — V. 2. *μολὲν* Bentley, *μόλεν* PVL, *μόλιν* AB, Meineke *μολῆν* — *ἀνί-*

μὴ κακὸν μέγα ποιήσῃ σὲ
κἀμὲ τὰν δειλάκραν·
ἁμέρα καὶ δή· τὸ φῶς διὰ τᾶς θυρίδος οὐκ ὁρῇς;

28.

Ἔς τε μέσον πεδίον Στενυκλήριον, ἔς τ' ὄρος ἄκρον
εἵπετ' Ἀριστομένης τοῖς Λακεδαιμονίοις.

29.

Ἐν φανερᾷ γενόμαν, πάτραν δέ μου ἁλμυρὸν ὕδωρ
ἀμφὶς ἔχει· μήτηρ δ' ἔστ' ἀριθμοῖο παΐς.

30.

Ἥσσων ἀλγήσας παῖδα τὸν ἐκ Θέτιδος
. . . . ἀνέθρεψεν.

στω Bentley, *ἀνιστῶ* PVL. — V. 3. *ποιήσῃ σὲ κἀμὲ* Dindorf, vulgo *ποιήσῃς καί με*, Bothe *ποιήσῃς με*. — *τὰν* Bothe, vulgo *τὴν*. — V. 4. *δή* scripsi, vulgo *ἤδη*, contra Dindorf *καὶ* delevit. — *ὁρῇς* scripsi, *ἐκορῇς* A, *ϝκόρης* B, *ἐσορῇς* VL. Meineke *εἰσορῇς*. Schneidewin, ut Locrorum dialectum restitueret, de qua nihil compertum habebat, v. 1 *ἁμέ*, v. 2 *κῆνον* et *ἀνίστα* scripsit; poterat certe *ἁμάρα* scribi, ut est in titulis *δέκ' ἁμαρᾶν*. — Hermann (Philol. V 743) cuncta ad creticum numerum revocare studuit: *Ὦ τί πασχεις σύ; μή, μὴ προδῷς ἔμ', ἱκετεύω σε, πρὶν καὶ μολὲν | κῆνον· ἀνστᾶθι καὶ μὴ κακὸν μέγα ποιήσῃς με τὰν δειλάκραν· | ἁμέρα δ' ἐστὶ καὶ δή· τὸ φῶς τὸ διὰ τᾶς θυρίδος οὐκ εἰσορᾷς;*

Fr. 28. Pausan. IV 16, 6: *Ἀριστομένει δέ, ὡς ἀνέστρεψεν ἐς τὴν Ἀνδανίαν, ταινίας αἱ γυναῖκες καὶ τὰ ὡραῖα ἐπιβάλλουσαι τῶν ἀνθῶν ἐπέλεγον ᾆσμα τὸ καὶ ἐς ἡμᾶς ἔτι ᾀδόμενον· ἔς τε μέσον κτλ.* Hecker II 41 Epaminondae demum aetate hanc cantilenam compositam esse arbitratur, sed nihil causae video, cur antiquitatem huic disticho abrogemus, cf. Polyb. IV 33: *οἱ γὰρ Μεσσήνιοι πρὸς ἄλλοις πολλοῖς καὶ παρὰ τὸν τοῦ Διὸς τοῦ Λυκαίου βωμὸν ἀνέθεσαν στήλην ἐν τοῖς κατ' Ἀριστομένη καιροῖς, καθάπερ καὶ Καλλισθένης φησί, γράψαντες τὸ γράμμα τοῦτο·*

Πάντως ὁ χρόνος εὗρε δίκην ἀδίκῳ βασιλῆϊ,
εὗρε δὲ Μεσσήνης σὺν Διῒ τὸν προδότην
ῥηϊδίως· χαλεπὸν δὲ λαθεῖν θεὸν ἄνδρ' ἐπίορκον·
χαῖρε, Ζεῦ βασιλεῦ, καὶ σάω Ἀρκαδίαν.

eadem Pausanias IV 22, 7.

Fr. 29. Athen. X 455 D: *ἔστιν εὐπορῆσαι καὶ ἄλλων γρίφων· ἐν φανερᾷ κτλ. φανερᾷ μὲν οὖν λέγει τῇ Δήλῳ, ἥτις ὑπὸ θαλάσσης περιέχεται, μήτηρ δ' ἡ Λητώ, ἥτις Κοίου ἐστὶ θυγάτηρ, Μακεδόνες δὲ τὸν ἀριθμὸν κοῖον προσαγορεύουσι.* cf. Eustath. Od. 1558, 3. — V. 1. *ἐν φανερᾷ* ABCP Eust., *ἐν φανερῷ* VL. — *πάτραν δέ μου* AC, *πάτρην δέ μου* Eust., *πάτρη δέ μοι* PVL. — V. 2. *ἔστ'* L Eust., *ἐστὶν* PV.

Fr. 30. Trypho *περὶ τρόπων* c. 4 (Rhett. Gr. III 193 ed. Spengel): *διαφέρει δὲ (αἴνιγμα) ἀλληγορίας, ὅτι ἡ μὲν ἀμαυροῦται ἢ λέξει ἢ διανοίᾳ, τὸ δὲ καθ' ἑκάτερον, οἷον· ἥσσων ἀ. π. τ. ἐκ Θέτιδος ἀνέθρεψε· ἥσσων γὰρ ὁ χείρων, ἀλήσας πονήσας. ἔστι δὲ ὅτι Χείρων ὁ Κένταυρος ἐξέθρεψε τὸν Ἀχιλλέα.* Respicit huc, si recte memini, etiam Demetrius *περὶ ἑρμηνείας*, sed locum nunc non reperio, item Quintil.

31.

Τί πάντες οὐκ ἐπιστάμενοι διδάσκομεν;

32.

Τί ταὐτόν (ἐστιν) οὐδαμοῦ καὶ πανταχοῦ;

VIII 6, 37: „*Graecis tamen frequentior, qui Centaurum Chirona* ἥσσονα (ita recte emendavit Meister Philol. XVIII 518) *et* ὀξείας *insulas* θοάς (ita corrigendum) *dicunt, nos quis ferat, si Verrem suem aut Aelium Catum* (hoc addidi) *doctum nominemus.* Videtur auctor huius aenigmatis plura exempla simul proposuisse, nisi forte Dionysium secutus pentametro subiecit hexametrum, ut praeter Achillem tantum Iasonem memoraverit, illud quoque nomen similiter interpretatus: certe quod addit Tryphon: καὶ πάλιν·

γῆς ἔθανεν καταδέσμου ὅτ' ἀγγείων ἀφάμαρτεν.

ἀντὶ τοῦ Αἴας ὁ Τελαμῶνος ἐτελεύτησεν, ὅτε τῶν ὅπλων ἀπέτυχε· γῆς γὰρ Αἴας γίνεται, (κατα)δέσμου Τελαμῶνος, ἀγγείων δὲ τῶν ὅπλων, non est cum hoc disticho copulandum, sed est diversus griphus isque integer, multo ille quidem magis frigidus et perplexus. Prope accedit ille griphus, quem Sext. Empir. adv. Math. p. 673 adhibet, qui fortasse et ipse numeris adstrictus fuit:

Ἐβαρβάριζε θοῦλον ἕλκος ἔχον χερί.

i. e. ἐσύριζεν ὁ Πὰν σύριγγα ἔχων ἐν τῇ χειρί, qui griphus Theocrito cum Fistulam conderet, obversatus est.— Ex Anthol. Pal. libro XIV, ubi plurima extant aenigmata, heroicis versibus vel elegiacis, passim etiam iambicis exposita, nullum recepi, pleraque enim admodum recentia sunt, unum tamen alterumve aliquanto antiquius, velut XIV 18:

Ἕκτορα τὸν Πριάμου Διομήδης ἔκτανεν ἀνὴρ
Αἴας, πρὸ Τρώων ἔγχεϊ μαρνάμενος.

cuius prior versus etiam apud schol. Arist. III 509 et alibi si recte memini extat. Novicium est, quod ex cod. Flor. cum aliis griphis edidit Piccolos in Anthol. 192:

Ἣν ἐθέλῃς, λαλέω φωνῆς δίχα· σοὶ γὰρ ὑπάρχει
φωνή, ἐμοὶ δὲ μάτην χείλε' ἀνοιγόμενα.

Antiquorum aenigmatum reliquiae satis memorabiles supersunt apud Gregor. Corinth. περὶ τρόπων (Spengel Rhet. III 225): αὐτὰρ ἐπεὶ δαιτὸς μὲν ἐΐσης ἐξ ἔρον ἕντο, ubi versus, quo griphus absolvebatur, periit; tum aliud plane intercidit, et ex interpretatione tantum licet haec recuperare: μητέρα μητρὸς ἄγοντο ἀζαλέην τε καὶ ὀπταλέην . . . ἐπὶ σφετέροις τεκέεσσι τεθνάμεναι.

Fr. 31 et 32. Athen. X 453 B: ἀρχαιότατος δ' ἐστὶ λογικὸς γρῖφος καὶ τῆς τοῦ γριφεύειν φύσεως οἰκειότατος· Τί πάντες κτλ. (fr. 31) καὶ τί ταὐτὸν κτλ. (fr. 32) καὶ· τί ταὐτὸν ἐν οὐρανῷ καὶ ἐπὶ γῆς καὶ ἐν θαλάσσῃ; τοῦτο δ' ἐστὶν ὁμωνυμία, καὶ γὰρ ἄρκτος καὶ ὄφις καὶ ἀετὸς καὶ κύων ἐστὶν ἐν οὐρανῷ καὶ ἐν γῇ καὶ ἐν θαλάττῃ. Τὸ δὲ χρόνον σημαίνει· ἅμα γὰρ παρὰ πᾶσιν ὁ αὐτὸς καὶ οὐδαμοῦ, διὰ τὸ μὴ ἐν ἑνὶ τόπῳ τὴν φύσιν ἔχειν· τὸ δὲ προάγον ἐστὶ ψυχὰς (scribo παραψυχὰς) ἔχειν· τοῦτο γὰρ οὐδεὶς ἡμῶν ἐπιστάμενος διδάσκει τὸν πλησίον. — Fr. 31. τί, B ὅτι. — Fr. 32. ἐστὶν addidit Meineke, nisi forte praestat τί ταὐτὸν οὐδαμοῦ τε χἅμα πανταχοῦ. Etiam tertium griphi exemplum (quocum componas Aristoph. Vesp. 21) videtur numeris astrictum, Meineke septenarium restituit:

Τί ταὐτόν ἐστ' ἐν οὐρανῷ κἀν γῇ τε κἀν θαλάττῃ;

33. 1033

Κριθῆς ἀφλοίου χυλὸν ὀργάσας πίει.

34.

ΠΑΝΑΡΚΟΥΣ.

Αἶνός τίς ἐστιν, ὡς ἀνήρ τε κοὐκ ἀνὴρ
ὄρνιθα κοὐκ ὄρνιθ' ἰδών τε κοὐκ ἰδὼν
ἐπὶ ξύλου τε κοὐ ξύλου καθημένην,
λίθῳ τε κοὐ λίθῳ βάλοι τε κοὐ βάλοι.

35.

Γαστὴρ ὅλον τὸ σῶμα, πανταχῆ βλέπων
ὀφθαλμός, ἕρπον τοῖς ὀδοῦσι θηρίον.

36.

Τρίπους, χύτρα, λυχνεῖον, ἀκταία, βάθρον,
σπόγγος, λέβης, σκαφεῖον, ὅλμος, λήκυθος,
σπυρίς, μάχαιρα, τρυβλίον, κρατήρ, ῥαφίς.

Fr. 33. Athen. X 455 D: *καὶ ἐπὶ τῆς πτισάνης· Κριθῆς κτλ.* Sed quod ibid. legitur 457 B: *λαβὼν ἀριστόνικον ἐν μάχῃ κράτος* ex tragico aliquo poeta petitum videtur.

Fr. 34. Schol. Plat. de Rep. V p. 479 C: *Κλεάρχου γρίφος· Αἶνός κτλ.* et deinde: *ἄλλως·*

Ἄνθρωπος οὐκ ἄνθρωπος, ἄνθρωπος δ' ὅμως,
ὄρνιθα κοὐκ ὄρνιθα, ὄρνιθα δ' ὅμως,
ἐπὶ ξύλου τε κοὐ ξύλου καθημένην,
λίθῳ βαλών τε κοὐ λίθῳ διώλεσεν·

νυκτερίδα ὁ εὐνοῦχος νάρθηκος κισσήρει. (Similiter Schol. Aristot. IV p. 14, nisi quod ter *ὄρνιν*.) Plato ipse dicit: *τῷ τῶν παίδων αἰνίγματι τῷ περὶ τοῦ εὐνούχου τῆς βολῆς πέρι τῆς νυκτερίδος.* Affert etiam Eustath. Il. 713, 10, ubi v. 3: *καθημένην τε κοὐ καθημένην*, Suid. v. *Αἶνος*, ubi v. 2 *ὄρνιθα κοὐκ ὄρνιθα, ὄρνιθα δ' ὅμως*, v. 3 Bernhardy *ἐπὶ ξύλου με*, vulgo *με* deest, v. 4 libri *λίθῳ με βαλὼν διώλεσεν.* Respicit Trypho ap. Walz. Rhet. VIII 736, Choeroboscus *περὶ τρόπων* Rhet. Gr. ed. Spengel III 253, Moschopul. 75. — *Panarci* vindicat Athen. X 452 C: *καὶ τὸ Πανάρκους δ' ἐστὶ τοιοῦτον, ὥς φησι Κλέαρχος ἐν τῷ περὶ γρίφων, ὅτι βάλοι ξύλῳ τε καὶ οὐ ξύλῳ καθημένην ὄρνιθα καὶ οὐκ ὄρνιθα ἀνήρ τε καὶ οὐκ ἀνὴρ λίθῳ τε καὶ οὐ λίθῳ.* Cf. etiam Photius v. *Νυκτερίδος αἶνος.*

Fr. 35. Plut. Am. et Adul. c. 9: *οὕτως ἄπειρος ἦν κόλακος ὁ νομίζων τὰ ἰαμβεῖα ταυτὶ τῷ κόλακι μᾶλλον ἢ τῷ καρκίνῳ* (leg. *τῷ καρκίνῳ μᾶλλον ἢ τῷ κόλακι*) *προσήκειν· Γαστήρ κτλ.* Nisi forte ex *comico* poeta petitum est.

Fr. 36. 37. 38. Athenaens XIV 648 F ex Clearchi libro *περὶ γρίφων* (unde etiam priora aenigmata fr. 31. 32 videtur petiisse) hos puerorum lusus ac nugas adscripsit: *Σκεύη κελεύοντος λέγειν ὅμοια εἰπεῖν· Τρίπους κτλ.* (fr. 36) *καὶ πάλιν ὄψων οὕτως· Ἔτνος κτλ* (fr. 37) *ἐπί τε τῶν τραγημάτων ὁμοίως· ἄμης κτλ.* (fr. 38). — Fr. 36 v. 1 *ἀκταία* Schweighaeuser, *ἀκταῖα* PVL. — V. 2. *ὅλμος* Dindorf, legebatur *ὄλμος*. — V. 3. *σπυρίς*, B *σπιρίς*.

37.

Ἔτνος, φακῆ, τάριχος, ἰχθύς, γογγυλίς,
σκόροδον, κρέας, θύννειον, ἅλμη, κρόμμυον,
σκόλυμος, ἐλαία, καππαρίς, βολβός, μύκης.

38.

Ἄμης, πλακοῦς, ἔντιλτος, ἴτριον, ῥόα,
ᾠόν, ἐρέβινθος, σησάμη, κοπτή, βότρυς,
ἰσχάς, ἄπιος, πέρσεια, μῆλ', ἀμύγδαλα.

39.

Σῖτον ἐν πηλῷ φύτευε· τὴν δὲ κριθὴν ἐν κόνει.

40.

Λὶψ ἄνεμος ταχὺ μὲν νεφέλας, ταχὺ δ' αἴθρια ποιεῖ,
Ἀργέστῃ δ' ἀνέμῳ πᾶσ' ἕπεται νεφέλη.

Fr. 37 v. 1. *γογγυλίς*, B *γυγγύλίς*.—V. 2. *θύννειον* Schweighaeuser, *θυννίον* PVL, *θυνίον* B. — *ἅλμη* PVL, *ἄλλη* B, *αλλη* A. — *κρόμμυον*, B *κρόμυον*.

Fr. 38 v. 1. *ῥόα, ᾠὸν* Salmasius, libri *ῥοδῶον*. — V. 3. *πέρσεια* Salmasius, *πέρσια* P, *περσία* VL. — *μῆλ'* Schneider Saxo, libri *μηλέα*.

Fr. 39. Plut. Quaest. Nat. c. 16: *Διὰ τί λέγεται· σῖτον κτλ.* — *φύτευε*, legebatur *φυτεύετε*.

Fr. 40. Theophrast. de vent. 51: *Ἐπεὶ δὲ πρὸς τὰς χώρας ἑκάστοις καὶ τοὺς τόπους ἐπινεφῆ καὶ αἰθρίαι, διὰ τοῦτο καὶ τὰ τῶν ἐν παροιμίᾳ λεγομένων πρός τινας τόπους εἰσίν, ὡς περὶ τοῦ ἀργέστου καὶ λιβός· ἰσχυρὸς δὲ μάλιστα περὶ Κνίδον καὶ Ῥόδον. Λὶψ ἄνεμος κτλ.* — V. 2. *αἴθρια* Turnebus, *αἴθριαι* A, *αἰθρίαν* Vossianus, *αἰθρίας* ed. Bas.

Extant alia praecepta popularia de tempestate versibus heroicis aut iambicis inclusa, velut ap. Theophr. ib. 37 et Aristot. Probl. 26, 31:

Ἕλκων ἐφ' αὑτὸν ὥστε καικίας νέφη.

ap. Theophr. 49 et Aristot. 26, 9 et 14:

Οὔποτε νυκτερινὸς βορέας τρίτον ἵκετο φέγγος.

ap. Theophr. 50:

Φιλεῖ δὲ νότος μετὰ πάχνην.

ap. Aristot. 26, 48:

Εἰ δ' ὁ νότος βορέαν προκαλέσσεται, αὐτίκα χειμών.
Εἰ βορρᾶς πηλὸν καταλήψεται, αὐτίκα χειμών.

ap. Arist. 20, 2:

Μίνθην ἐν πολέμῳ μήτ' ἔσθιε μήτε φύτευε.

ap. Aristot. 26, 21. 28. 43. 47.

Ἀρχομένου τε νότου καὶ λήγοντος βορέαο.

(adde Aristotelis libellum de inundatione Nili apud Rose Arist. Pseudep. 636: *propter quod proverbialiter loquentes dicimus: inchoante autem austro et desinente borea.*); ap. Theophr. 61 et Aristot. 26, 59 et 25, 7:

Μή ποτ' ἀπ' ἠπείρου δείσῃς νέφος, ἀλλ' ἐπὶ πόντου
χειμῶνος, θέρεος δὲ ἀπ' ἠπείροιο μελαίνης.

41. 1034

Ἦλθ', ἦλθε χελιδών,
καλὰς ὥρας ἄγουσα,
καλοὺς ἐνιαυτούς,
ἐπὶ γαστέρα λευκά,
ἐπὶ νῶτα μέλαινα.
παλάθαν σὺ προκύκλει
ἐκ πίονος οἴκου,
οἴνου τε δέπαστρον,
τυρῶν τε κάνυστρον·
καὶ πύρνα χελιδὼν 1035
καὶ λεκιθίταν
οὐκ ἀπωθεῖται. πότερ' ἀπίωμες, ἢ λαβώμεθα;
εἰ μέν τι δώσεις· εἰ δὲ μή, οὐκ ἐάσομεν,
ἢ τὰν θύραν φέρωμες ἢ τοὐπέρθυρον,

Fr. 41. Athen. VIII 360 B: *Καὶ χελιδονίζειν δὲ καλεῖται παρὰ Ῥοδίοις ἀγερμός τις ἄλλος, περὶ οὗ Θέογνίς φησιν ἐν δευτέρῳ περὶ τῶν ἐν Ῥόδῳ θυσιῶν γράφων οὕτως· Εἶδος δέ τι τοῦ ἀγείρειν χελιδονίζειν οἱ Ῥόδιοι καλοῦσιν, ὃ γίνεται τῷ Βοηδρομιῶνι μηνί· χελιδονίζειν δὲ λέγεται διὰ τὸ εἰωθὸς ἐπιφωνεῖσθαι· Ἦλθ' κτλ. τὸν δὲ ἀγερμὸν τοῦτον κατέδειξε πρῶτος Κλεόβουλος ὁ Λίνδιος ἐν Λίνδῳ χρείας γενομένης συλλογῆς χρημάτων.* Cf. Eust. 1914, 45 ubi afferuntur v. 1—5, deinde *εἶτα ὡς ἐν συνόψει φάναι, οὐ παλάθαν ζητοῦμεν οἴνου τε δέπαστρον, ἁ χελιδὼν καὶ λεκιθίταν οὐκ ἀπωθεῖται* usque ad v. 15, *μετὰ δὲ ὀλίγα τελειοῦται ἡ ᾠδὴ εἰς τὸ ἄνοιγ' κτλ.* (19. 20). Dixit de hoc carmine Ahrens Dial. Dor. 478. Schema v. 1—11. 17 et 18 est ⏑⏑–́⏑⏑–⏓ vel ⏑–́⏑⏑–⏓, denique etiam abiecta plane anacrusi –́⏑⏑–⏓, ut 11 et 17, quamquam facile hi quoque poterant corrigi. Sed non videtur ferendum schema hoc ⏒ ⏓–́⏑⏑–⏓, quare v. 3 et 5 correxi. Copulantur autem, ut fit in popularibus cantilenis, bini semper versus, nisi quod primus haud inepte singularis est. — V. 1. Hermann *ἦνθ' ἦνθε* Doctr. Metr. 461. — V. 2. *ὡρας* Hermann, v. *ὥρας*. — V. 3. *καλοὺς* Hermann, v. *καὶ καλοὺς*. — V. 5. *ἐπὶ* Eustath., *κἀπὶ* vulgo. — *μέλαινα* Eust., *μέλανα* BPV. — V. 6. *παλάθαν σὺ προκύκλει* Hermann, v. *παλάθαν οὐ* (P1 *φαλάνθου*, P2 *παλαθάνου*) *προκυκλεῖς*, Meineke *παλάθαν προκύλισον* vel *προκύκλησον*, idem praeterea proposuit *παλάθαν οὐ προκυλίσεις* (*προκυλίεις*); quod a numeris huius cantilenae abhorret. — V. 9. *τυρῶν* B, *τυρῶ* PV, *τυροῦ* L. — *κάνυστρον* V (cf. Pollux X 86), *κάννυστρον* BDPQ, *κάνιστρον* L. — V. 10. *καὶ πύρνα χελιδών* scripsi, *καὶ πυρῶνα χελιδὼν* A, *καὶ πυρῶν ἁ χελιδών* B, *καὶ πυρῶν χελιδών* VL, vulgo *κάνιστρον καὶ πυρῶν; ἁ χελιδών*. Ahrens *τυρῶν τε κ. καπυρῶν ἁ χελιδών*. Conieci etiam *καπυρῶνα χελιδὼν καὶ λεκ.*, ut *καπυρὼν* fuerit panis genus, quod *καπυρίδιον* vocat Athen. III 113 D. — V. 11. *λεκιθίταν*, *λεκιθι τὰν* P, *λεκίθι τὰν* V. Hermann *τὸν λεκ.*, Ahrens *καὶ δὴ λεκ.*, Meineke *κἄρτον λεκ.* — V. 12. *ἀπωθεῖται*, P *ἀποθεῖται*. Versum trochaicum alienum esse censet Meineke, itaque haec verba *οὐκ ἀπωθεῖται* corrupta esse arbitratur, deinde trimetrum restituit *πότερα πάλιν ἀπίωμες*, vel *πότερα κενοὶ 'πίωμες*, quemadmodum iam Ahrens coni. *κενοὶ πότερ'*. — *ἀπίωμες*, *ἀπίωμεν* C et Eust. — V. 13. cf. Homeri Carm. min. XV 14, ubi praeterea v. 11 *χελιδονισμοῦ* mos respicitur: *νεῦμαί τοι νεῦμαι ἐνιαύσιος, ὥστε χελιδών, ἕστηκ' ἐν προθύροις, ψιλὴ πόδας.* — V. 14. *φέρωμες*, C *φέρομες*, Eust. *φέρομεν*. — *τοὐπέρθυρον*, vulgo *τὸ ὑπέρθυ-*

ἢ τὰν γυναῖκα τὰν ἔσω καθημέναν·
μικρὰ μέν ἐστι, ῥᾳδίως μιν οἴσομεν.
ἂν δὲ φέρῃς τι,
μέγα δή τι φέροιο.
ἄνοιγ᾽, ἄνοιγε τὰν θύραν χελιδόνι·
οὐ γὰρ γέροντές ἐσμεν, ἀλλὰ παιδία.

42.

Δέξαι τὰν ἀγαθὰν τύχαν, δέξαι τὰν ὑγίειαν,
ἃν φέρομεν παρὰ τᾶς θεοῦ, ἃν ἐκαλέσσατο τήνα.

43.

⏑ –́ ⏑⏑́ ⏑ –
–́ – – ⏑ ⏑ – –
⏑ ⏑ –́ ⏑ ⏑ –́ – ⏑ ⏑ –́ –

Ἄλει μύλα ἄλει·
καὶ γὰρ Πιττακὸς ἄλει,
μεγάλας Μιτυλάνας βασιλεύων.

ρον. — V. 16. μικρὰ μέν, fort. μικρὰ γάρ. — μιν, Meineke νιν, — οἴσομεν PVL, οἴσομαι C. — V. 17. ἂν δὲ scripsi, v. ἂν δή, formam ἂν sollicitare non sum ausus, quamquam sane dorica dialectus αἰ δὲ vel αἴκα δὲ flagitat, sed supra quoque v. 13 εἰ legitur. — V. 18. τι φέροιο scripsi, τι φέροις B, τοι φέροις P, τι καὶ φέροις VL. — Efficiunt vulgo ex his duobus versiculis senarium, velut Dindorf Ἐὰν φέρῃς δέ τι, μέγα δή τι καὶ φέροις, Meineke ἂν δὴ φέρῃς τι, μέγα τι δὴ καὐτὸς (καὐτὴ) φέροις.

Fr. 42. Argument. Theocriti III: Τοὺς δὲ νενικημένους (βουκόλους) εἰς τὰς περιοικίδας χωρεῖν, ἀγείροντας ἑαυτοῖς τὰς τροφάς· διδόναι δὲ καὶ ἄλλα τινὰ παιδιᾶς καὶ γέλωτος ἐχόμενα, καὶ εὐφημοῦντας ἐπιλέγειν· Δέξαι κτλ. Ahrens in quatuor versus discripsit. — V. 1. δέξαι τὰν PQ Gen. Call. Ambr., legebatur δέξαι δ'. — Lips. Borb. bis τὴν, Gen. τὸν ἀγαθόν, Lips. ὕγειαν, Ambr. ὑγείαν. — V. 2. φέρομεν, possis φέρμεν coniicere, quemadmodum φέρτε dicitur, sed dactylum satis tuetur proximum colon. Ahrens ἃ φέρομεν edidit. — τᾶς Hermann, vulgo τῆς, Ambr. τοῦ. — θεοῦ, Schneidewin θεῶ. — ἃν ἐκ. τήνα om. Vat. 1, 2. Borb. Lips. — ἐκαλέσσατο, Call. ἐκαλέσατο, Gen. ἐκαλέσαντο, Ambr. ἐκλελάσκετο. Hermann coni. κἀχαρίσσατο τήνα, Duebner ἃν ἐχαρίσσατο τήνα, Ahrens ἅ 'κελήσατο τήνα.

Fr. 43. Plut. Sept. Sap. Conv. c. 14: Ἐγὼ γάρ, εἶπε, τῆς ξένης ἤκουον ᾀδούσης πρὸς τὴν μύλην ἐν Λεσβῷ γενόμενος· ἄλει κτλ. — V. 2. ἄλει scripsi, ut etiam Koester coni., vulgo ἀλεῖ legitur. quod et institutae sententiae et numero versus adversatur. Ritschl in Mus. Rhen. I 301 auctore Reisigio contendit hanc cantilenam argumento esse, olim Graecos in versibus pangendis non tam syllabarum mensuram curavisse, quam accentus habuisse rationem, itaque servata scriptura ἀλεῖ carmen in hunc modum esse metiendum –́ ⏑ – ⏑ – ⏑ | –́ ⏑ – ⏑ –́ ⏑ – | ⏑ –́ ⏑ – ⏑ –́ ⏑ – ⏑ –́ ⏑, postea autem Aeolicos accentus revocandos esse ratus v. 2 verba traiecit καὶ Πίττακος γὰρ ἄλει ⏑ –́ ⏑ – ⏑ –́ –. Facile apparet elegantissimi carminis varietatem numerorum ita plane everti: ac permirum illi legi, cui olim Graecos obtemperavisse opinatur, unum hoc astrictum esse monumentum, satis illud quidem exiguum nec valde vetustum: attamen Ritschelio assensus est Hermann Epit. doctr metr. 220 ed. 2.

44. 1036

Ὦ παῖδες, ὅσοι Χαρίτων τε καὶ πατέρων λάχετ' ἐσθλῶν,
μὴ φθονεῖθ' ὥρας ἀγαθοῖσιν ὁμιλίαν·
σὺν γὰρ ἀνδρείᾳ καὶ ὁ λυσιμελὴς ἔρως ἐπὶ Χαλκιδέων
θάλλει πόλεσιν.

45.

Τὸν Ἑλλάδος ἀγαθέας
στραταγὸν ἀπ' εὐρυχόρου
Σπάρτας ὑμνήσομεν, ὢ
ἰὴ Παιάν.

Fr. 44. Plut. Amator. c. 17: Ἀριστοτέλης δὲ τὸν μὲν Κλεόμαχον ἄλλως ἀποθανεῖν φησι, κρατήσαντα τῶν Ἐρετριέων ἐν τῇ μάχῃ· τὸν δὲ ὑπὸ τοῦ ἐρωμένου φιληθέντα τῶν ἀπὸ Θρᾴκης Χαλκιδέων γενέσθαι, πεμφθέντα τοῖς ἐν Εὐβοίᾳ Χαλκιδεῦσιν ἐπίκουρον· ὅθεν ᾄδεσθαι παρὰ τοῖς Χαλκιδεῦσιν· Ὦ παῖδες κτλ. — V. 1. ὅσοι scripsi, vulgo οἵ, quod fortasse servandum in carmine populari. — λάχετ' Meineke, ἐλάχετε vulgo. — V. 2. ὁμιλίαν, in proecdosi ὁμιλεῖν scripsi. — V. 3. ἀνδρείᾳ, BE ἀνδρία.

Fr. 45. Plut. vit. Lys. 18: Πρῶτον μὲν γάρ, ὡς ἱστορεῖ Δοῦρις, Ἑλλήνων ἐκείνῳ (Λυσάνδρῳ) βωμοὺς αἱ πόλεις ἀνέστησαν ὡς θεῷ καὶ θυσίας ἔθυσαν, εἰς πρῶτον δὲ παιᾶνες ᾔσθησαν, ὧν ἑνὸς ἀρχὴν μνημονεύουσι τοιάνδε· τὸν κτλ. — V. 2. στραταγὸν, Sg στρατηγὸν. — εὐρυχόρου Naeke, v. εὐρυχώρου. — V. 3. ὑμνήσομεν, SgAC ὑμνήσωμεν. — ὢ om. C, praeterea SgAPπSV ᾠὴ παιάν. Fort. praestat ἰήϊε, vid. Hephaest. p. 128 et exitum paeanis in Titum Flamininum ap. Plut. vit. Flam. 16:

πίστιν δὲ Ῥωμαίων σέβομεν
τὰν μεγαλευκτοτάταν ὅρκοις φυλάσσειν.
μέλπετε κοῦραι
Ζῆνα μέγαν Ῥώμαν τε
Τίτον θ' ἅμα Ῥωμαίων τε
πίστιν· ἰήϊε Παιάν·
ὦ Τίτε σῶτερ.

quamquam alterum quoque fuit in usu, vid. Athen. XV 696 E, ubi hunc ipsum paeanem memorat: οὐκ ἔχει δ' οὐδὲ τὸ παιανικὸν ἐπίρρημα, καθάπερ ὁ εἰς Λύσανδρον τὸν Σπαρτιάτην γραφεὶς ὄντως παιάν, ὅν φησι Δοῦρις ἐν τοῖς Σαμίων ἐπιγραφομένοις Ὥροις ᾄδεσθαι ἐν Σάμῳ. Παιὰν δ' ἐστὶ καὶ ὁ εἰς Κρατερὸν τὸν Μακεδόνα γραφείς, ὃν ἐτεκτήνατο Ἀλεξῖνος ὁ διαλεκτικός, ὥς φησιν Ἕρμιππος ὁ Καλλιμάχειος ἐν τῷ πρώτῳ περὶ Ἀριστοτέλους· ᾄδεται δὲ καὶ οὗτος ἐν Δελφοῖς, λυρίζοντός γέ τινος παιδός. Καὶ ὁ εἰς Ἀγήμονα δὲ τὸν Κορίνθιον, Ἀλκυόνης πατέρα, ὃν ᾄδουσι Κορίνθιοι, ἔχει τὸ παιανικὸν ἐπίφθεγμα· παρέθετο δὲ αὐτὸν Πολέμων ὁ περιηγητὴς ἐν τῇ πρὸς Ἀράνθιον ἐπιστολῇ. Καὶ ὁ εἰς Πτολεμαῖον δὲ τὸν πρῶτον Αἰγύπτου βασιλεύσαντα παιάν ἐστιν, ὃν ᾄδουσι Ῥόδιοι· ἔχει γὰρ τὸ ἰὴ παιὰν ἐπίφθεγμα, ὥς φησι Γόργων ἐν τῷ περὶ τῶν ἐν Ῥόδῳ θυσιῶν. Ἐπ' Ἀντιγόνῳ δὲ καὶ Δημητρίῳ φησὶ Φιλόχορος Ἀθηναίους ᾄδειν παιᾶνας τοὺς πεποιημένους ὑπὸ Ἑρμίππου τοῦ Κυζικηνοῦ, ἐφαμίλλων γενομένων τῶν παιᾶνας ποιησάντων πολλῶν καὶ τοῦ Ἑρμοκλέους προκριθέντος.

46. 1037

Ὡς οἱ μέγιστοι τῶν θεῶν καὶ φίλτατοι
τῇ πόλει πάρεισιν·
ἐνταῦθα (γὰρ Δήμητρα καὶ) Δημήτριον
ἅμα παρῆγ' ὁ καιρός.
χἠ μὲν τὰ σεμνὰ τῆς Κόρης μυστήρια
ἔρχεθ', ἵνα ποιήσῃ,
ὁ δ' ἱλαρός, ὥσπερ τὸν θεὸν δεῖ, καὶ καλὸς ·
καὶ γελῶν πάρεστιν.
σεμνόν τι φαίνεθ', οἱ φίλοι πάντες κύκλῳ,

Fr. 46. Athen. VI 253 C ex Demochare haec refert: *Ἐπανελθόντα δὲ τὸν Δημήτριον ἀπὸ τῆς Λευκάδος καὶ Κερκύρας εἰς τὰς Ἀθήνας οἱ Ἀθηναῖοι ἐδέχοντο οὐ μόνον θυμιῶντες καὶ στεφανοῦντες καὶ οἰνοχοοῦντες, ἀλλὰ καὶ προσοδιακοὶ* (ita recte Bernhardy, legebatur *προσόδια καὶ*) *χοροὶ καὶ ἰθύφαλλοι μετ' ὀρχήσεως καὶ ᾠδῆς ἀπήντων αὐτῷ, καὶ ἐφιστάμενοι κατὰ τοὺς ὄχλους ᾖδον ὀρχούμενοι καὶ ἐπᾴδοντες, ὡς εἴη μόνος θεὸς ἀληθινός, οἱ δ' ἄλλοι καθεύδουσιν ἢ ἀποδημοῦσιν ἢ οὐκ εἰσί, γεγονὼς δ' εἴη ἐκ Ποσειδῶνος καὶ Ἀφροδίτης, τῷ δὲ κάλλει διάφορος καὶ τῇ πρὸς ἅπαντας φιλανθρωπίᾳ κοινός· δεόμενοι δ' αὐτοῦ ἱκέτευον καὶ προσηύχοντο.* Deinde Athen. pergit: *Δοῦρις δ' ὁ Σάμιος ἐν τῇ δευτέρᾳ καὶ εἰκοστῇ τῶν ἱστοριῶν καὶ αὐτὸν τὸν ἰθύφαλλον* (*παρέθετο* addidit Casaubonus, *παρατίθεται* Hullem.). *ὡς οἱ μέγιστοι κτλ.* Initio duos tantum versus (fortasse:

Ἀνάγετε πάντες, ἀνάγετ', εὐρυχωρίαν
τοῖς θεοῖς ποιεῖτε.)

Meineke deesse censet. Carmen hoc, quo anno sit conditum, ambiguum. A vero prorsus aberrat Schneidewin, qui ad Ol. CXVIII 2 retulit: Droysen Gesch. des Hellenismus I 512, cui assensus est Hullemann Duridis rel. p. 111, revocat ad annum quo Demetrius mysteriis initiatus est, Ol. CXIX 3 (sec. Droysenum CXIX 2), verum cum hoc tempore Aetolorum mentio vix potest conciliari: deducimur potius ad Ol. CXXII, 3: tunc enim Aetoli Delphos occupaverant et obstiterunt quominus Pythia agerentur, itaque Demetrii iussu tunc Athenis celebrata sunt. Demetrius tunc a Corcyra et Leucadia redierat Athenas,; videtur igitur Thebis expugnatis classe Corcyram petivisse a Lanassa invitatus, vid. Plut. vit. Pyrrhi c. 10, qui cum dicit *καὶ ταῦτα Κέρκυραν ἔναγχος ἀφῃρημένος μετὰ τῆς γυναικός*, huic rerum gestarum ordini haud adversatur. Corcyra igitur occupata Demetrius Athenas rediit, ut hoc ipsum carmen v. 3 indicat Boedromione mense, quo Eleusinia agebantur, ab Atheniensibus honorifice exceptus, atque haud ita multo post puto eum Pythia instauravisse, fortasse mense Pyanepsione: nam iusto tempore hunc mercatum Athenis celebratum esse neque memoriae proditum neque per se verisimile est: hieme autem exacta bellum intulit Aetolis, id quod hoc ipso carmine flagitant Athenienses. Itaque cum hoc carmen Ol. CXXII 3 sit conditum, oportebat ab hac sylloge segregari; nolui tamen praetermittere, quoniam olim in ordinem recepi. De auctore carminis vide quae supra p. 1283 significavi. — V. 1. *ὡς*, Hullemann *ὣς*. — V. 3. *γὰρ Δήμητρα καὶ* addidit ex coni. Toup. — *Δημήτριον* Casaub., *Δημήτριος* PVL. — V. 4. *ἅμα* PL, *ἅμος* V. — *παρῆγ'* Porson, *παρῆν* PVL. — V. 7. *καλὸς καὶ* ABC, *καλῶς* PVL. — V. 9. *σεμνόν τι* scripsi, quod Meineke quoque coniecit, *σεμνόν, ὅθι* ABDPQ, *σεμνός, ὅθι* VL. — *φαίνεθ'* ABP, *φαίνονθ'* VL.

ἐν μέσοισι δ' αὐτός·
ὅμοιον, ὥσπερ οἱ φίλοι μὲν ἀστέρες,
ἥλιος δ' ἐκεῖνος.
ὦ τοῦ κρατίστου παῖ Ποσειδῶνος θεοῦ
χαῖρε κἀφροδίτης·
ἄλλοι μὲν ἢ μακρὰν γὰρ ἀπέχουσιν θεοί,
ἢ οὐκ ἔχουσιν ὦτα,
ἢ οὐκ εἰσίν, ἢ οὐ προσέχουσιν ἡμῖν οὐδὲ ἕν,
σὲ δὲ παρόνθ' ὁρῶμεν,
οὐ ξύλινον, οὐδὲ λίθινον, ἀλλ' ἀληθινόν·
εὐχόμεσθα δή σοι.
πρῶτον μὲν εἰρήνην ποίησον, φίλτατε·
κύριος γὰρ εἶ σύ.
τὴν δ' οὐχὶ Θηβῶν, ἀλλ' ὅλης τῆς Ἑλλάδος
Σφίγγα περικρατοῦσαν,
Αἰτωλὸς ὅστις ἐπὶ πέτρας καθήμενος, 1038
ὥσπερ ἡ παλαιά,
τὰ σώμαθ' ἡμῶν πάντ' ἀναρπάσας φέρει,
κοὐκ ἔχω μάχεσθαι·
Αἰτωλικὸν γὰρ ἁρπάσαι τὰ τῶν πέλας,
νῦν δὲ καὶ τὰ πόρρω·
μάλιστα μὲν δὴ κόλασον αὐτός· εἰ δὲ μή,
Οἰδίπουν τιν' εὑρέ,
τὴν Σφίγγα ταύτην ὅστις ἢ κατακρημνιεῖ,
ἢ σπίλον ποιήσει.

Antea huc retuli:

Μέλπωμεν
Διόνυσον ἀγλαόμορφον
Βακχεύτορα ξανθοκάρηνον.

V. 10. *αὐτός* C, *αὐτοῖς* PVL. — V. 11. *ὅμοιον* scripsi quod etiam Meineke coniecit, libri *ὅμοιος*. — *οἱ*, Toup *εἰ*. — V. 12. *ἐκεῖνος*, B *ἐκεῖνοι*. — V. 14. *κἀφροδίτης*, PVL *καὶ ἀφροδίτης*. — V. 17. *οὐδὲ ἕν*, P *οὐδεέν*. — V. 18. *παρόνθ'*, *παρόντα* ABCP. M. Schmidt inutili coniectura haec tentavit *παρόντ' ἀθροῦμεν* scribens. — V. 20. *εὐχόμεσθα*, *εὐχόμεθα* PVL. — V. 21. *μὲν*, A *με*. — V. 24. *περικρατοῦσαν* Casaub., libri *περιπατοῦσαν*. — V. 25. *Αἰτωλὸς* ABP, *Αἰτωλὸν* DQ, *αἰτωλίδ'* CVL. — V. 26. *ἡ παλαιά* Casaubonus, *ἡ πάλαι* VL, *οἱ πάλαι* P. — V. 31. *κόλασον* Toup, *σχόλασον* PVL. — V. 34. *σπίλον* i. e. *πέτραν* (vid. Hesych.) Meineke, quod ego quoque conieci, *σπείνον* A, *σπεινὸν* P, *πεινῆν* CVL. Schweighaeuser *σπίνον*, Meineke antea (vide ad Alciphr. 99) *κρίνον* commendaverat.

quae leguntur in ara rotunda, quae pompam Bacchicam sculptam exhibet, litteris ad antiquitatis speciem scriptis: iam Boeckh C. Inscr. I n. 38 (cf. etiam Franz Elem. Epigraph. n. 35) titulum hunc subditicium esse censuit, quippe qui mala fraude sit compositus ad exemplum hymni, qui extat Anth. Pal. IX 524:

Μέλπωμεν βασιλῆα φιλεύϊον, εἰραφιώτην,
ἁβροκόμην, ἀγροῖκον, ἀοίδιμον, ἀγλαόμορφον,
Βοιωτόν, βρόμιον, βακχεύτορα, βοτρυοχαίτην . . .
ξυστοβόλον, ξυνόν, ξενοδώτην, ξανθοκάρηνον.

Atque Conze, qui monumentum in museo Pembrokiano denuo examinavit, Boeckhii suspicionem non vanam fuisse testatur.

Non recepi cantilenam, quam Meineke sic constituit:

Μήποτ' εὖ ἔρδειν γέροντα, μηδὲ παῖδα βάσκανον,
μηδὲ δαψιλῆ γυναῖκα, μηδὲ γείτονος κύνα,
μὴ κυβερνήτην φίλυπνον, μὴ λάλον κωπηλάτην.

(vid. Diogenian. VI 6. Suid. v. *ἄχρηστα* et v. *μηδέποτ' εὖ.* adde Arsen. 356 et Paroemiogr. II 528 ed. Gotting.); proverbium dicit etiam Aristot. Rhet. I 15: *οἷον εἴ τις συμβουλεύει μὴ ποιεῖσθαι φίλον γέροντα, τούτῳ μαρτυρεῖ ἡ παροιμία, Μήποτ' εὖ ἔρδειν γέροντα.* — Contra quod Athenaeus VII 325 D ex Chariclide, comico ut videtur poeta profert: *Ἀθήνησι δὲ καὶ τόπος τις Τρίγλα καλεῖται, καὶ αὐτόθι ἐστὶν ἀνάθημα τῇ Ἑκάτῃ Τριγλανθίνῃ* (Eust. 1197, 30. *τριγλαθίνῃ*). *Διὸ καὶ Χαρικλείδης ἐν Ἁλύσει φησί· Δέσποιν' Ἑκάτη τριοδῖτι, τρίμορφε, τριπρόσωπε, τρίγλαις κηλευμένα* (ita BC, *κηλευμένη* PVL Eust.) non ab ipso poeta videtur profectum, sed ex populari cantilena adscitum:

Δέσποιν' Ἑκάτη τριοδῖτι,
τρίμορφε θεά, τριπρόσωπε,
τρίγλαις κηλευμένα . . .

— Permira sunt indigitamenta, quae leguntur apud Plutarchum de superstit. c. 10: *Τοῦ Τιμοθέου τὴν Ἄρτεμιν ᾄδοντος ἐν Ἀθήναις καὶ λέγοντος· Θυάδα, φοιβάδα, μαινάδα, λυσσάδα, Κινησίας ὁ μελοποιὸς ἐκ τῶν θεατῶν ἀναστάς, τοιαύτη σοι, εἶπε, θυγάτηρ γένοιτο. Καὶ μὴν ὅμοια τούτοις καὶ χείρονα περὶ Ἀρτέμιδος οἱ δεισιδαίμονες ὑπολαμβάνουσιν, αἴτε κἂν ἀπ' ἀγχόνας ἀΐξασα αἴτε καλεχόνα* (sic Dübner, *καλεφῶνα* cod. Harl., *καὶ λεχὼ* Wyttenbach. Turnebus *κἂν λεχὼ*) *κναίσατε, αἴ τε κἂν ἔκκεκρος μαίουσα* (Harl. *ἐκέκρος μ' οὖσα*) *ἂν πεφυρμένα ἐσῆλθες* (sic Dübner et cod. Harl., *εἰσῆλθες* Wyttenbach) *αἴ* (om. C) *τε καὶ* (om. Ven.) *ἐκ*
1039 *τριπόδων καθ' ἑρμάτεσσι* (CE Harl. *καθερμάτεσσιν*, cod. coll. Nov. *καθ' ἑρμάτεσιν*, Wyttenbach *καθ' ἑρμάτευσιν*) *ἐπισπωμένα* (Mosc. 1 *ἐπιπτωμένα*) *τῷ παλαμναίῳ συμπλεχθεῖσα.* Emperius haec sic conformavit: . . . *λεχωῖαν* (*λεχωῖδ'*) *ἀποκλύσασα ἐκ νεκροῦ μολοῦσ' ἀμπεφυρμένα προσῆλθες, ἅτε κἀκ τριόδων καθαρμάτεσσ' ἐπισπωμένα τῷ παλαμναίῳ τε συμπλακεῖσα.* Mihi scribendum videtur: *αἴτε καν ἀπ' ἀγχόνας ἀΐξασα, αἴτε κα λεχὼν μαιωσαμένα, αἴτε καν ἐκ νεκρῶς μαίνουσα ἀμπεφυρμένα ἐσῆλ-*

ϑες, αἴτε κα(ν) ἐκ τριόδων καϑαρμάτεσσιν ἐπισπομένα τῷ τε παλαμναίῳ συμπαλαχϑεῖσα. Quod Diana ἀπ' ἀγχόνας ἀΐξασα indigitatur, congruit cum Arcadum religione, qui Ἄρτεμιν ἀπαγχομένην divinis honoribus colebant, vid. Pausan. VIII 23, 6 seq. Clemens Alex. Protr. p. 24 c. Atque Arcadum dialecto peculiaris forma καν, quam hic haud dubie deprehendimus, vide quae dixi in comm. de titulo Arcadio p. XVI (1860), quamquam etiam Dorienses ea forma usi sunt, certe passim in Pythagoreorum reliquiis comparet: itaque aliquando suspicatus sum haec indigitamenta ex Sophronis mimis esse petita: ac numerorum sane quandam speciem haec ostentant, ut fieri solet in eiusmodi solennibus cantilenis, neque tamen ad legitimos numeros revocare licet.

Porro omnia, quae heroicis versibus composita sunt, procul habui. Seiungenda igitur cantilena notissima Εἰρεσιώνη, cuius exordium cum alii, tum Plut. vit. Thes. c. 22 affert:

Εἰρεσιώνη σῦκα φέρει καὶ πίονας ἄρτους
καὶ μέλι ἐν κοτύλῃ καὶ ἔλαιον ἀναψήσασϑαι
καὶ κύλικ' εὔζωρον, ὡς ἂν μεϑύουσα καϑεύδῃς.

quamquam fortasse deinde versus alius generis sequebantur, quemad- 1040
modum etiam Homerica Iresione (carm. min. XV) duobus trimetris iamb. terminatur. — Item seiungenda puerorum cantilena, quando noctuam ceperunt (cf. Pollux IV 103), quae commemoratur Cram. An. Par. IV 103, 26: *Αἴϑ' ὄφελες ϑανεῖν ἢ πανύστατον ὀρχήσασϑαι.* versus haud dubie fuit:

Αἴϑ' ὄφελες ϑανέειν ἢ ὕστατον ὀρχήσασϑαι.

legiturque, si recte memini, etiam alibi. — Item procul habendum carmen adespoton, quod Stob. Ecl. Phys. I 2, 31 servavit:

Ἡρακλέος κρατεροῦ, ὃς γᾶν ἐκάϑαρεν ἅπασαν,
πετροβάτα τε ϑεοῦ Πανὸς νομίοιο βρυάκτα,
ϑνατῶν τ' ἰατῆρος Ἀσκληπιοῦ ὀλβιοδῶτα,
πρεσβίστας τε ϑεᾶς Ὑγιείας μειλιχοδώρου,
ναυσί τ' ἐπ' ὠκυπόροισι Διοσκούρων ἐπιφάντων,
Κουρήτων ϑ', οἳ ματρὶ Διὸς Ῥέᾳ ἐντὶ πάρεδροι,
Καὶ Χαρίτων μεμνᾶσϑαι ἐν ἔργῳ παντὶ μέγιστον,
ἠδὲ Χρόνου παίδων Ὡρᾶν, αἳ πάντα φύοντι,
Νυμφᾶν τ' οὐρειᾶν, αἳ νάματα καλ' ἐφέποντι,
ὑμνέωμες μάκαρας, Μοῦσαι Διὸς ἔκγονοι, ἀφϑίτοις ἀοιδαῖς.

mihi quidem Heeren haec videtur recte Orphico alicui poetae tribuisse, quamvis Hermann Opusc. II 248 et Lobeck Aglaoph. I 600 adversati sint. Ceterum locus non integer servatus, nonnulla fortasse ab initio intercepta sunt, extrema autem aperte complurium versuum reliquias ostendunt: ibi haud dubie dixit poeta de deo summo, cuius gratia haec Stobaeus adscripsit: quae supersunt, sic videntur conformanda·

Ὑμνέομες μάκαρας, Μοῦσαι Διὸς ἔκγονοι, ...
. . . . (ϑεὸν) ἄφϑιτον αἰὲν ἀοιδαῖς.

Praeterea v. 3 ubi libri non θνατῶν, sed θειατῶν exhibent, haud dubie corruptus, conieci σεῖό τ', ὦ ἰατὴρ Ἀσκλήπιε ὀλβιοδῶτα. — Incertum, utrum ex poeta aliquo an ex populari cantilena petitum sit quod servavit Hesychius: ὦπι ἄνασσα· πυρρὰ πρόθυρος. πῦρ πρὸ τῶν θυρῶν. Scribendum:

Ὦπι ἄνασσα, πυρὰ προθύροις.

ac πυρά etiam Palmerius. Interpretatio autem sic restituenda videtur, huc relatis iis, quae falso s. v. ὠπωτῆρε leguntur: Διὰ φαρμάκων εἰώθασί τινες ἐπάγειν τὴν Ἑκάτην ταῖς οἰκίαις, πῦρ πρὸ θυρῶν (ἀνάπτοντες). — Denique carmen quod servavit Origenes (Hippolytus) adv. Haeret. p. 72 ed. Miller mihi quidem quamquam non valde antiquum, at certe non prorsus novicium videtur:

Νερτερίη χθονίη τε καὶ οὐρανίη μόλε βομβώ,
εἰνοδίη τριοδῖτι, φαεσφόρε, νυκτεροφοῖτι·
ἐχθρὴ μὲν φωτός, νυκτὸς δὲ φίλη καὶ ἑταίρη·
χαίρουσα σκυλάκων ὑλακῇ τε καὶ αἵματι φοινῷ
ἐν νέκυσιν στείχουσα κατ' ἠρία τεθνηώτων,
αἵματος ἱμείρουσα, φόβον θνητοῖσι φέρουσα,
γοργὼ καὶ μορμὼ καὶ μήνη καὶ πολύμορφε,
ἔλθοις εὐάντητος ἐφ' ἡμετέρῃσι θυηλαῖς.

Certe hanc vel simillimam cantilenam Theocritus respicere videtur II 13, et hinc etiam repetendum quod ibi pro ἀνά τ' ἠρία καὶ μέλαν αἷμα alii legebant ἀνά τ' ἠρία κεκμηώτων. — Ceterum Βομβώ mihi quoque suspectum, nec tamen Βαυβώ, ut Miller coniecit, scribendum puto, sed ῥόμβῳ, ut sit *veni quasi turbine acta*, quamquam possis etiam de magico rhombo interpretari (de quo vid. Sch. Apoll. Rh. I 144 interprett. Theocr. II 30), ut haec cantilena proprie fuerit composita in usum mulierum, quae rhombo ad magicas artes utebantur. V. 2. Meineke νυκτεροφοῖτι emendavit, legebatur νυκτεροφοίτη.

Aliorum carminum prorsus non constat quae fuerit forma. Ita epicumne an vere lyricum carmen fuerit *hymnus in Herculem*, quem memorat Ptolem. Heph. p. 186. West. ignoramus: τίνος ἐστὶν ὁ ὕμνος ὁ ᾀδόμενος ἐν Θηβαίοις εἰς Ἡρακλέα, ἐν ᾧ λέγει (scr. λέγεται) Διὸς καὶ Ἥρας υἱός· ἔνθα περὶ τῶν κατὰ πόλεις τοὺς ὕμνους ποιησάντων, καὶ ὡς Φιλοστέφανος ὁ Μαντινεὺς ὁ ποιητὴς ἐκ γενετῆς ἱματίῳ οὐκ ἐχρήσατο, καὶ ὡς Μάτρις ὁ Θηβαῖος ὑμνογράφος μυρσίνας παρ' ὅλον τὸν βίον ἐσιτεῖτο. unde coniicio, Ptolemaeum hunc hymnum ad illum ipsum *Matrin* retulisse, de quo cf. Athen. II 44 C, ubi Meineke Θηβαῖος pro Ἀθηναῖος coniecit; sed ἐγκώμιον Ἡρακλέους, quod Ath. X 412 B *Matridis* nomine affert, quodque etiam Diodor. Sic. I 24 respicit, non huic poetae tribuendum videtur, sed rhetori, quem dicit Longin. de Subl. c. 3, nisi eundem hominem et rhetoricae et poesi operam dedisse censeas. — Non magis constat, id quod exhibet Pollux X 162: σίφνιν δ' ἐν τοῖς Ἀττικοῖς ὕμνοις οὐ τὴν γῆν ἔνιοι ἀκούουσι, ἀλλὰ τὴν σιπύαν, ἐξ ἧς ἡ Δημήτηρ προὐκόμιζε τὰς τροφάς, utrum ex epico an lyrico carmine petitum sit. —

Alia autem aliena sunt, velut ex *titulo sepulcrali* virginis Spartanae petitum videtur, quod habet Pollux IV 102: *Καὶ βίβασις δέ τι ἦν εἶδος Λακωνικῆς ὀρχήσεως, ἧς καὶ τὰ ἆθλα προὐτίθετο οὐ τοῖς παισὶ μόνον, ἀλλὰ καὶ ταῖς κόραις· ἔδει δὲ ἅλλεσθαι καὶ ψαύειν τοῖς ποσὶ πρὸς τὰς πυγάς, καὶ ἠριθμεῖτο τὰ πηδήματα, ὅθεν καὶ ἐπὶ μιᾶς ἦν ἐπίγραμμα·*

Χίλιά ποκα βιβάντι, πλεῖστα δὴ τῶν πῆ ποκά.

Legendum videtur:

Χίλι' ἅ ποκ' ἆλτο βιβάτι, πλεῖστα δὴ τῶν πή ποκα.

Χίλι' ἃ Bekker correxit, *ἆλτο βιβάτι* ego restitui, Meineke *βίβατι* et *πά ποκα* scripsit, Ahrens (II 483) *χίλι' ἅδε ποκὰ βίβαντι, πλεῖστα δὴ τῶν πή ποκα.* — Alia, quoniam non sunt numeris astricta, seiunxi, velut puerorum cantilenam, quam memorat Schol. Aristoph. Av. 56: *Δὸς τὸ σκέλος τῇ πέτρᾳ καὶ πεσοῦνται τὰ ὄρνεα.* — Item preces Atheniensium in honorem Iovis Pluvii, quas adhibet Marcus Anton. V 7:

Ὗσον, ὗσον, ὦ φίλε Ζεῦ,
κατὰ τῆς ἀρούρας τῆς Ἀθηναίων καὶ τῶν πεδίων.

non videntur numeris adstrictae: ceterum nescio an scribendum sit: *κατὰ τῆς ἀρούρας τῆς Ἀθηναίων καὶ τῶν Π ε δ ι α ί ω ν*, ut urbani tantum pro se et Pediaeis deorum pacem imploraverint.

Alia carmina non in ordinem recepi, velut versus ex *Hymno in Apollinem*, quem apparet satis novicium esse: Hermann apud Buttmannum Mythol. I 277 hymnum ad novissimam Platonicorum sectam refert, et quamvis dubitanter ipsi Porphyrio tribuit, adversante Buttmanno huic quidem suspicioni. Versus sunt hi:

Σοὶ δ' ἄρα πηγὰς νοερῶν ὑδάτων 1041
τάμον ἄντροις μίμνουσαι, γαίης
ἀτιταλλόμεναι πνεύματι μούσης
θέσπιν ἐς ὀμφήν· ταὶ δ' ὑπὲρ οὖδας
διὰ πάντα νάπη ῥήξασαι
παρέχουσι βροτοῖς γλυκερῶν ῥείθρων
ἀλιπεῖς προχοάς.

Servavit hos versus Porphyr. de antro nymph. c. 8: *ὅτι δὲ καὶ ταῖς νύμφαις ἀνετίθεσαν ἄντρα, καὶ τούτων μάλιστα ταῖς Ναΐσιν, αἳ ἐπὶ πηγῶν εἰσί, κὰκ τῶν ὑδάτων, ἀφ' ὧν εἰσι ῥοαί, Ναΐδες ἐκαλοῦντο, δηλοῖ καὶ ὁ ε ἰ ς Ἀ π ό λ λ ω ν α ὕ μ ν ο ς, ἐν ᾧ λέγεται· Σ ο ὶ δ' κτλ.* — V. 2. *τάμον* Barnes, qui praeterea *Ν ύ μ φ α ι τάμον* scripsit, vulgo *τέμον*. — *μίμνουσαι*, van Goens *ὑμνοῦσαι*. — V. 3. *πνεύματι*, Barnes *πνεύμασι*, van Goens *γαίην (γαῖαν) ἀτ. ῥεύμασι*. — V. 5. *νάπη* Hermann, *νάη* vel *ναή* vulgo, Barnes *νασμούς*, praeterea Hermann post *ῥήξασαι* addere voluit *ἀεί*. — Item non recepi reliquias *Hymni in Iovem* has:

Δία τὸν πάντων ὕπατον κλήζω.

* * *

Πολὺ γὰρ πολύ μοι τὸ μέσον βιότου
μέλπειν τε θεοὺς ἔν τ' εὐφροσύναις

ἦτορ ἰαίνειν
τοιῷδ' ὑπὸ παιδονόμῳ.

Affert Aristid. I 452: δευτέρᾳ ἐδόκουν ἐν τῷ ἱερῷ εἶναι τοῦ Ἀσκληπιοῦ ὄρθριον εὐθὺς ἐξ ὁδοῦ ποθὲν ἥκων, καὶ χαίρειν ὡς ταχέως ἀνεῴγνυτο· ἐδόκουν δὲ καὶ τοὺς παῖδας ᾄδειν τὸ ἀρχαῖον ᾆσμα, οὗ ἡ ἀρχή ἐστι· Δία κτλ. καὶ εἶναι ἐν ἐκείνῳ τῷ μέρει τοῦ ᾄσματος· πολὺ κτλ. Hoc quamquam ab Aristide *antiquum* vocatur carmen, satis tamen novicium videtur. — V. 1. Aristides quod infra dicit p. 485: κελεύει . . . καθέξεσθαι εἰς τὴν αὐλὴν τοῦ ἱεροῦ, καλοῦντα Δία, θεὸν (l. θεῶν) ὕπατον καὶ ἄριστον, ad Homerum referendum. — V. 2. τὸ μέσον, fort. λῷστον. — V. 3. τε θεοὺς ΓΔΘ, v. τοὺς θεούς. — V. 5 fort. παιδονομηῒ. — Aperte ficta exordia hymni in Minervam:

Ἕπεσθε Περγάμῳ νέοι.

et in Bacchum:

Χαῖρ' ὦ ἄνα κισσεῦ
Διόνυσε.

quae rhetor halucinabundus profert I 513. Idem valet de paeane I p. 62. — Non magis recepi reliquias *Hymnorum in Attin*, quae leguntur apud Origenem (Hippolyt.) adv. Haeret. 118: Τοιγαροῦν, φησίν, ὅταν συνελθὼν ὁ δῆμος ἐν τοῖς θεάτροις εἰσίοι τις ἠμφιεσμένος στολὴν ἔξαλλον, κιθάραν φέρων καὶ ψάλλων, οὕτως λέγει ᾄδων τὰ μεγάλα μυστήρια οὐκ εἰδὼς ἃ λέγει· Εἴτε Κρόνου γένος, εἴτε Διὸς μάκαρος, εἴτε Ῥέας μεγάλης χαῖρε τὸ κατηφὲς ἄκουσμα Ῥέας Ἄττι, σὲ καλοῦσι μὲν Ἀσσύριοι τριπόθητον Ἄδωνιν, ὅλη δ' Αἴγυπτος Ὄσιριν ἐπουράνιον μήνης κέρας, Ἕλληνες σοφίαν, Σαμοθρᾶκες Ἀδὰμ σεβάσμιον, Αἱμόνιοι Κορύβαντα, καὶ οἱ Φρύγες ἄλλοτε μὲν Πάπαν,
1042 ποτὲ δὲ νέκυν, ἢ θεόν, ἢ τὸν ἄκαρπον, ἢ αἰπόλον ἢ χλοερὸν στάχυν ἀμηθέντα, ἢ ὃν πολύκαρπος ἔτεκεν ἀμύγδαλος ἀνέρα συρικτάν. Τοῦτον φησὶν εἶναι πολύμορφον Ἄττιν, ὃν ὑμνοῦντες λέγουσιν οὕτως· Ἄττιν ὑμνήσω τὸν Ῥείης, οὐκ ᾠδινῶν συμβόμβοις, οὐδ' αὐλῶν Ἰδαίων Κουρήτων, μύκτητα, ἀλλ' οἷς Φοιβείαν μίξω μοῦσαν φορμίγγων, εὐοῖ, εὐὰν ὡς Πάν, ὡς Βακχεύς, ὡς ποιμὴν λευκῶν ἄστρων. Haec Schneidewin (Philol. III 247 seq.) ad numeros revocare studuit, cf. etiam G. Hermann in Actis Soc. Sax. 1849 p. 1, qui hexametros restituere conatus est, et Schneidewin in Nuntiis Gotting. 1852 p. 101. Sed prior quidem cantilena mihi aliter conformanda videtur, constat autem versibus anapaestis, quos deinde dactylici tetrametri excipiunt:

Χαῖρ', εἴτε Κρόνου γένος εἴτε Διός,
μάκαρ, εἴτε Ῥέας μεγάλης εἶ,
ὦ χαῖρε κατηφὲς ἄκουσμα Ῥέας
Ἄττη· σὲ καλοῦσι μὲν Ἀσσύριοι
τριπόθητον Ἄδωνιν, ὅλη δὲ
Αἴγυπτος Ὄσιριν, ἐπουράνιον
Μήνης κέρας Ἕλληνες, σοφίαν
. . . .
Σαμόθρᾳκες Ἄδαμνα σεβάσμιον·

. Ἀκμόνιοι Κορύβαντα, καὶ οἱ Φρύγες
ἄλλοτε μὲν Πάππαν, ποτὲ δ' αὖ νέκυν
ἢ θεὸν ἤτοι ἄκαρπον ἢ αἰπόλον
ἢ χλοερὸν στάχυν ἀμηθέντα,
ἢ πολύκαρπον, ὃν ἔτεκεν ἀμύγδαλος,
ἀνέρα συρικτὰν (πολυώνυμον).

V. 3. ἄκουσμα intactum reliqui, conieci ἄθυρμα, Hermann ἄκρισμα, certe κατηφές non est sollicitandum. — V. 6 Schneidewin parum recte conformavit scribens ὅσιον δ' Αἴγυπτος ἐπουράνιον μήνης κέρας, Ἕλληνες δ' Ὀφίαν, (postea retractavit scribens κέρας Ἕλληνες, Κυλλήνιοι λόγιον.) nam ipse Origenes p. 106 testificatur Graecos ἐπουράνιον μήνης κέρας appellare, hinc ipse Attis μηνοτύραννος in titulis tam graecis quam latinis indigitatur, cf. de tauroboliorum sacris disputantem Prellerum Roem. Mythol. 738 seq. quorum sacrorum ne germana quidem Graecia expers fuit, ut atticum epigramma docet, quod illustravit C. Keil Philol. Suppl. II 588 seqq. Excidit post σοφίαν versus. — V. 8. Ἄδαμνα scripsi, cf. Hesychius: Ἀδαμνεῖν· φιλεῖν· καὶ Φρύγες ἀδάμνα τὸν φίλον λέγουσιν. — V. 9. Ἀκμόνιοι scripsi, Schneidewin Μαιόνιοι. — V. 10. Πάππαν, nisi forte Παπίαν praestat. — V. 11. ἤτοι scripsi, haec quoque Schneidewin satis audacter neque vere immutavit, nam ipse Origenes et θεὸν et αἰπόλον tuetur. — V. 13. πολύκαρπον restitui, nam ita nuncupari auctor est Origenes. — V. 14. πολυώνυμον addidi, vid. Origenes p. 117. — Alteram autem cantilenam Schneidewin in hunc modum restituit:

Ἄττιν κλήσω τὸν Ῥείης,
οὐ κωδώνων σὺν βόμβοις
οὐδ' αὐλῶν Ἰδαίων
κουρήτων μύκτητα,
ἀλλ' εἰς Φοιβείαν μίξω
μοῦσαν φορμίγγων, εὐοί,
εὐάν, ὡς Πάν, ὡς Βακχεύς,
ὡς ποιμὴν λευκῶν ἄστρων.

Hermann v. 3 et 4 sic constituit οὐδ' Ἰδαίων κουρήτων Αὐλῶν μυκητᾶν φωναῖς.

Extant praeterea apud Philostratum quaedam carmina, quae quin sophista ipse finxerit, non est dubium. Velut *Hymnus in Thetin*:

Θέτι κυανέα, Θέτι Πηλεία,
σὺ μέγαν τέκες υἱὸν Ἀχιλλέα·
θνατὰ μὲν ὅσον φύσις ἤνεγκεν,
Τροία λάχε, σᾶς δ' ὅσον ἀθανάτου
γενεᾶς παῖς ἔσπασο, Πόντος ἔχει·
βαῖνε πρὸς αἰπὺν τόνδε κολωνόν,
μετ' Ἀχιλλέως ἔμπυρα (βαῖνε·)
βαῖν' ἀδάκρυτος μετὰ Θεσσαλίας,
Θέτι κυανέα, Θέτι Πηλεία.

Et item alius:

Ἀχώ, παρὰ μυρίον ὕδωρ

μεγάλου ναίοισα πέραν Πόντου,
ψάλλει σε λύρα διὰ χειρὸς ἐμᾶς,
σὺ δὲ θεῖον Ὅμηρον ἄειδέ μοι,
κλέος ἀνέρων, 1043
κλέος (ἄφθιτον) ἀμετέρων πόνων,
δι' ὃν οὐκ ἔθανον, δι' ὃν ἐστί μοι
Πάτροκλος, δι' ὃν ἀθανάτοις ἴσος
Αἴας ἐμός,
δι' ὃν ἁ δορίληπτος ἀειδομένα
(μέλεσιν) σοφοῖς
κλέος ἤρατο κοὺ πέσε Τροία.

Prior hymnus legitur ap. Philostrat. Heroic. p. 741. Hanc cantilenam dicit Thessalos theoros, qui Achilli in littore Troiano inferias Dodonaei oraculi iussu offerebant, canere solitos: νυκτὸς μὲν δὴ καθορμίζεσθαι ἔδει καὶ πρὶν ἅψασθαι τῆς γῆς ὕμνον ἀπὸ τῆς νεὼς ᾄδειν ἐς τὴν Θέτιν ὧδε συγκείμενον· Θέτι κτλ. Eadem Eudocia p. 85. — V. 1. Κυανέα, κυαναία 2. — Πηλεία Kaiser, Πηλία codd., Πηλεῖ, ἃ coni. Visconti, unde Kaiser deinde ἃ τὸν μέγαν scripsit. — V. 2. σὺ scripsi, legebatur τόν. — τέκες Boissonade, legebatur ἔτεκες. — Ἀχιλλέα codd., vulgo Ἀχιλλῆα. — Quod deinde libri et edd. addunt τοῦ proscripsi. — V. 3. ὅσον, 2 ὅσων. — ἤνεγκεν, b ἤνεικε. — V. 4. Τροία codd., τοι Τροία vulgo. — V. 6. βαῖνε πρὸς αἰπὺν 2 (in i γρ.), βαῖν' ἐπ' αὐτὸν 1. i. 3. 4. — τόνδε om. 1. 3. 4 praeter β, in ρ est τόν, totum versum om. n. — V. 7. μετ' om. Olear. — ἔμπυρα, ἐν πυρᾷ e, Eud. — βαῖνε adieci, Kaiser coni. βαῖνε θεά — V. 8. ἀδάκρυτος, εὐδάκρυτος ε (in m. γρ. ἀδάκρ.) et Eud. — μετὰ Θεσσαλίας aperte vitiosum, e Morell. et Eud. μετὰ θυηλὰς, scribendum videtur τάσδε θυηλάς. — V. 9. κυανέα, κυαναία 2. — Πηλεία, Πηλία codd. — Facile apparet hoc carmen non antiquum esse, sed ab ipso Philostrato compositum: istius enim saeculi plane indolem refert.

Alter hymnus extat ib. p. 747: Καὶ μήν, ξένε, πολλοὶ τῶν προσελθόντων τῇ νήσῳ καὶ ἄλλα τοῦ Ἀχιλλέως ᾄδοντος ἀκούειν φασί, τουτὶ δὲ πέρυσιν, οἶμαι, τὸ ᾆσμα ἡρμόσατο χαριέστατα τῆς γνώμης καὶ τῶν διανοιῶν ἔχον, ξύγκειται δὲ ὧδε· Ἀχὼ κτλ. ubi aperte indicat a se confectam esse cantilenam. — V. 1. Ἀχώ, suprascr. ἠ(χὼ) b, ἠχὼ j, e, n. Olear., ἀλλὰ γ. — παρὰ codd., περὶ edd. — V. 2. μεγάλου om. l. — ναίοισα, νέοισα 2. ψ, ουσα p ex corr. et 4. — πέραν scripsi, legebatur πλευρά. — V. 3. σε, δέ σε e n. — V. 4. μοι, ἐμοὶ γ. Morell. — V. 5. ἀνέρων, ἀνδρῶν Morell. Olear. — V. 6. ἄφθιτον ad versum redintegrandum addidi. — V. 7. δι' ὃν, δι' ὧν π. — οὐκ ἔθανον Mor. Olear., οὐ θάνον codd. — V. 8. ἴσος, ἶσος a. — V. 9. ἐμός, ἐμοί ψ. — V. 10. ἁ δορίληπτος f, ut Wesseling. coniecit, ἁ δορύληπτος γ, ἀδορύληπτος 2. 3, ἀδορίληπτος l. 4 edd. — V. 11. μέλεσιν adieci, contra σοφοῖς delendum censet Kaiser. — V. 12. κοὐ, καὶ 4. — Denique confictum haud dubie quod memorat Philostr. v. Apoll. VIII 30: Στεῖχε γᾶς, στεῖχε ἐς οὐρανόν, στεῖχε.

FRAGMENTA ADESPOTA. 1044

I. ΕΛΕΓΕΙΑ.

1.

Ὡς ἀν' ἐχινόποδας καὶ ἀνὰ τρηχεῖαν ὄνωνιν
φύονται μαλακῶν ἄνθεα λευκοΐων.

2.

Ἡ νεότης ἀσύφηλος ἀεὶ θνητοῖσι τέτυκται·
εἰ δὲ δίκην βλάπτοι, πουλὺ χερειοτέρη.

3.

Θριαὶ (δὴ) τὴν γρηῦν ἐπιπνείουσι κορώνην.

4.

Ἐν δὲ διχοστασίῃ καὶ ὁ πάγκακος ἔμμορε τιμῆς.

5. 1045

Οὔ μοι ἔτ' εὐκελάδων ὕμνων μέλει, οὐδ' ἔτι μολπῆς.

Fr. 1. Plutarch. de aud. poet. c. 13, de fratern. am. c. 13, quaest. Sympos. I 4, 3. — V. 1 adhibet etiam Athen. III 97 D.

Fr. 2. Schol. Eurip. Androm. v. 184: *Κακόν γε θνητοῖς τὸ νέον*] *διὰ τὴν προπέτειαν κακὸν τὸ νέον. Ἡ νεότης κτλ.* Fort. *Eueni* est. — V. 2. *πουλὺ, πολὺ* codd., emend. Matthiae. — *χερειοτέρη* Cobet ex cod., v. *χειροτέρη*.

Fr. 3. Cram. An. Ox. IV 337, 26: *Τὸ νηὺς ἢ γρηὺς διῃρημένον κατὰ τοὺς Ἴωνας οὐκ ἐκλίθη, τὴν δὲ αἰτιατικὴν καὶ κλητικὴν ἔχει· θριαίτην γρηὺν κτλ.* Scribendum *Θριαὶ τήν*, cf. Homeri Hymn. in Mercur. v. 552 seqq. Inserui *δή*, quamquam alia quoque possunt tentari. Fort. *Archilochi* versus est.

Fr. 4. Zenob. III 77. Utitur hoc versu Plut. vit. Nic. c. 11 (ubi pro *ἔμμορε* V *ἔλαχε*), compar. Lyc. et Sullae c. 1 (ubi *ἔλλαχε*), vit. Alex. c. 53 (item *ἔλλαχε*), et de frat. am. c. 2. Versus haud dubie antiqui poetae, ad cuius similitudinem facti comicorum versus apud Zenob:

Ἐν δὲ διχοστασίῃ καὶ Ἀνδροκλέης πολεμαρχεῖ.

(fort. *κἂν — πολεμαρχοῖ*) et:

Ἐν γὰρ ἀμηχανίῃ καὶ ὁ Καρκίνος ἔμμορε τιμῆς.

Fr. 5. Chrysippus *π. ἀποφατικῶν* c. 9: *εἰ ποιητής τις οὕτως ἀπεφήνατο· Οὔ μοι κτλ.* *Alcmani* vindicat Schneidewin, quod si verum, exspectes *μολπᾶς*. — *οὐδ' ἔτι*, Letronne *οὐδέ τι*.

6.

Οὐκέτι γιγνώσκουσιν Ἀθηναῖοι Μεγαρῆας.

7.

Ἀνδρὶ μὲν αὐλητῆρι θεοὶ νόον οὐκ ἐνέφυσαν,
ἀλλ᾽ ἅμα τῷ φυσῆν χὠ νόος ἐκπέταται.

8.

Ἐσθλὸς ἐὼν ἄλλου κρείττονος ἀντέτυχεν.

9.

Ἦν θεὸς ἢ κρέσσων δή τις· ὀνησόμεθα.

10.

* *Οὐ πάντα θεοὶ πᾶσιν ἔδωκαν ἔχειν.*

11. 1040

Ἐσθλοὶ μὲν γὰρ ἁπλῶς, παντοδαπῶς δὲ κακοί.

Fr. 6. Aristot. Eth. Eudem. VII 10: *Καὶ ὥσπερ αἱ πόλεις ἀλλήλαις φίλαι, οὕτω καὶ οἱ πολῖται· καὶ ὁμοίως οὐκέτι . . . Μεγαρῆας καὶ οἱ πολῖται κτλ.* et antea iam VII 2: *Διὰ γὰρ τὸ χρήσιμοι εἶναι φιλοῦσιν ἀλλήλους καὶ μέχρι τούτου, ὥσπερ ἡ παροιμία· Γλαῦκ᾽ ἐπίκουρος ἀνὴρ σὸν σὸν φίλος, ἔσκε μάχηται. καὶ οὐκέτι γ. Ἀθηναῖοι* (Mb *Ἀθῆναι*, Pb *ἀληθῆναι*) *Μεγαρῆας.* Fort. *Solonis* est, eum autem qui praecedit versum *Archilocho* adscripsi, vid. fr. 14. — Dubium an ex elegia petitus sit versus Eth. Nic. VIII 6 (cf. Apostol. XIV 59 a):

Πολλὰς δὴ φιλίας ἀπροσηγορία διέλυσεν.

Fr. 7. Athen. VIII 337 E: *λόγος γὰρ παλαιός, ὅτι Ἀνδρὶ κτλ.* — V. 1. *οὐκ ἐνέφυσαν*, Iacobs *εἰ καὶ ἔφυσαν*, Casaubonus *εἰσενέφυσαν*, Schweighaeuser *οὖν ἐνέφυσαν.* — V. 2. *φυσῆν* ABC, *φύσειν* P, *φυσᾶν* VL.

Fr. 8. Polybius XV c. 16: *Ἔστι μὲν γὰρ ὅτε καὶ ταὐτόματον ἀντέπραξε ταῖς ἐπιβολαῖς τῶν ἀγαθῶν ἀνδρῶν, ἔστιν δ᾽ ὅτε πάλιν κατὰ τὴν παροιμίαν· ἐσθλὸς κτλ.* Fort. *Theognidis* est.

Fr. 9. Herodian. *π. μον. λέξ.* p. 40, 23: *Λέγεται δὲ καὶ κρέσσων μὴ πλεονάζοντος τοῦ ῑ . . . καί· ἦν θεός· ἢ κρέσσων δέ τι ὀνησόμεθα.* Dubitanter pentametrum restitui, Lehrs: *ἦν θεὸς ἢ κρέσσον· τί ὀνησόμεθα.*

Fr. 10. Epigramma incertum in Anthol. XII 96: *Οὔτι μάταν θνατοῖσι φάτις τοιάδε βοᾶται, ὡς οὐ πάντα κτλ.* Fortasse illud ipsum *ὡς* praemittendum, nisi malis *οὐ γὰρ ἅπαντα.* — Fortasse etiam ex antiquiore elegiaco poeta petitum, quod ib. XII 18. Alpheus dicit: *τοὔνεκεν οὐ φεύγειν γλυκὺν ἵμερον, ἀλλὰ διώκειν πᾶσι λέγω· ψυχῆς ἐστιν Ἔρως ἀκόνη.*

Fr. 11. Aristot. Eth. Nic. II 5: *Καὶ διὰ ταῦτ᾽ οὖν τῆς μὲν κακίας ἡ ὑπερβολὴ καὶ ἡ ἔλλειψις, τῆς δὲ ἀρετῆς ἡ μεσότης· ἐσθλοὶ κτλ.* Ceterum LbOb *κακοὶ δὲ παντοδαπῶς.*

12.

Ἡμεῖς δ' εἰς Ἕλλης πόντον ἀπεπλέομεν.

13.

Τὸν φρουρὸν φρουρεῖν χρή, τὸν ἐρῶντα δ' ἐρᾶν.

14.

Κοῦραι ἐλαφρὰ ποδῶν ἴχνι' ἀειράμεναι.

15.

. . *Ὀλίγης ἐστὶ διδασκαλίας.*

II. ΙΑΜΒΟΙ.

16.

Ξάνθῃ παλαιῇ γρηῒ πολλοῖσιν φίλῃ.

17. 1047

Περὶ σφυρὸν παχεῖα μισητὴ γυνή.

18.

Ἀνθεῦσαν ἀγαθοῖς πᾶσιν, οἷς θάλλει πόλις.

Fr. 12. Mar. Victor. p. 154: „Hoc quoque notandum in enuntiatione pentametri elegiaci, nam plerumque aurem fallit, ut in illo graeco versu *Ἡμεῖς δ' εἰς Ἑλλήσποντον ἀπ.*" Sed hoc divisim scribendum esse ipse gramm. docet. Fort. hoc sicut fr. 14. *Callimachi* est, atque etiam fr. 13 novicium videtur.

Fr. 13. Macar. Prov. VIII 40, ubi legitur *χρὴ φρουρεῖν*, quae transposui.

Fr. 14. Dionys. Halic. de comp. verb. c. 25, ubi de pentametro disserit: *ὅμοιον τούτοις· κοῦραι κτλ.* ubi Reg. 1 et Colb. *ἐλαφροπόδων.* — *ἴχνι'* Hermann, vulgo *ἴχνε'*.

Fr. 15. Herodian. post Moer. p. 475 ed. Piers.: *ὀλίγης ἐστὶ διδασκαλίας· ἀντὶ τοῦ ὀλίγων δεῖται πρὸς μάθησιν.* Ex Attico poeta petitum videtur, fort. *Critia.*

Fr. 16. Rufin. de metr. com. p. 385 hoc iambi exemplum ex Iuba affert: *Ξανθῇ π. γ. πολλῇσιν φ.* quae correxi, nam *Ξάνθη* nomen proprium illius mulieris. *Archilochi* vel *Anacreontis* videtur versus.

Fr. 17. Schol. Aristoph. Av. 1620: *μισητίαν δὲ οἱ μὲν περὶ Ἀριστοφάνη τὴν εἰς τὰ ἀφροδίσια ἀκρασίαν καὶ τό· περὶ . . . γυνή οὕτως ἐξηγοῦνται.* ubi Ald. *παχεῖα καὶ μισ.* Eustath. 1651, 1: *χρᾶται δ' αὐτῷ καὶ παροιμία ἐν τῷ· περὶ κτλ.* ubi *μισήτη* potius quam *μισητή* scribendum praecipit. Photius 274, 4: *καὶ τὸ ἐν παροιμίας δὲ μέρει λεγόμενον παρὰ κτλ.* (cod. *παχεῖαν*). Eadem Suid. v. *μισητή*, Apostol. XIII 95. — *Archilocho* tribuunt Iacobs et Meineke Poet. Com. II 202.

Fr. 18. Luciani Scyth. c. 9: *Καὶ ἔμελλον οὕτω διατεθήσεσθαι τὴν γνώμην ἰδὼν πόλιν ἀκμάζουσαν ἀκμῇ τοσαύτῃ καὶ κατὰ τὸν ποιητὴν ἀνθεῦσαν* (*ἀνθοῦσαν* M) *κτλ.*

19.

Πριηπίδος τε τῆς πρὸ Βοσπόρου πόλεως.

20.

Πολλὰ δ' ἐν μεταιχμίῳ
Νότος κυλίνδει κύματ' εὐρείης ἁλός.

21.

Καὶ παχυσκελὴς ἀλετρὶς πρὸς μύλην κινουμένη.

22.

Βαῖνε λάξ, ἐπὶ τραχήλου βαῖνε, καὶ πέλα χθονί.

23.

Δῆμος ἄστατον κακόν
καὶ θαλάσσῃ πάνθ' ὁμοῖον ὑπ' ἀνέμου ῥιπίζεται, 1048
καὶ γαληνὸς ἣν τύχῃ, πρὸς πνεῦμα βραχὺ κορύσσεται,
κἢν τις αἰτία γένηται, τὸν πολίτην κατέπιεν.

24.

Πέλλα γὰρ (πλείη)
τρυγὸς γλυκείης, ἣν ἔτικτεν Ἀνθηδών.

Fr. 19. Hesych.: *Πριηπίδος τε τῆς πρὸ Βοσπόρου πόλεως Ἑλλησποντιακῆς, ἣν* (om. cod., sed recte addidit Musurus) *τὸν Πρίαπον τὸν Διονύσου καὶ Περικότης* (*Περκώτης*) *φασὶν οἰκῆσαι* (*οἰκίσαι*). Versus *Archilochi* videtur. Priapum urbem pariter atque Abydum et Proconnesum Milesii Gyge regnante condiderunt, cf. Strabo XIII 587 coll. 590.

Fr. 20. Cicero ad Attic. V 3: „Tu autem abes longe gentium: *πολλὰ κτλ.* *Archilochi* videntur versus, quo poeta saepius utitur Cicero.

Fr. 21. Plut. non posse suaviter viv. c. 21: *Ἐν δὲ πομπαῖς καὶ θυσίαις οὐ μόνον γέρων καὶ γρηῦς, οὐδὲ πένης καὶ ἰδιώτης, ἀλλὰ καὶ παχ. κτλ.* Nisi forte est versus Eupolideus *Comici* alicuius.

Fr. 22. Plut. de cohib. ira c. 9: *ἄρχομαι καταφρονεῖν τῶν λεγόντων ... καὶ Βαῖνε κτλ.* Meineke *Archilocho* tribuit. — *πέλα*, Lobeck *πίλνα*.

Fr. 23. Dio Chrysost. XXXII p. 432: *Καὶ ταῦτα ἀκούων Ὁμήρου τε καὶ τῶν ἄλλων ποιητῶν ὑμνούντων ἀεὶ τὸν ὄχλον ὡς χαλεπόν τε καὶ ἀπειθῆ καὶ πρὸς ὕβριν ἕτοιμον, τοῦ μὲν οὕτω λέγοντος — ἑτέρου δὲ πάλιν αὖ, Δῆμος κτλ.* Fortasse *Solonis* sunt versus vel *Archilochi*. Meineke *Comici* potius poetae esse censet. Ceterum componas cum his Demosth. de falsa leg. 136: *ὡς ὁ μὲν δῆμός ἐστιν ἀσταθμητότατον πρᾶγμα τῶν πάντων καὶ ἀσυνθετώτατον, ὥσπερ ἐν θαλάττῃ πνεῦμα ἀκατάστατον, ὡς ἂν τύχῃ, κινούμενον.* Respicit autem huc Dio Cassius in aliqua oratione, sed locus nunc non est in promptu. — V. 2. *ὁμοῖον*, vulgo *ὅμοιον*. — V. 3. *ἣν τύχῃ* Kayser, *κεἰ γαληνὸς ὢν τύχοι* Emperius, *ἔντ' χώρᾳ* B, *ἐντείχω* M, *ἔντ' ἠχῶν* V, *ἔντ' ἠχῶ* rel. — *πρὸς* Reiske, vulgo *πᾶν*. — *βραχύ*, Iacobs *ταχύ*. — V. 4. Fort. *ἄντιος* (hoc etiam Geel) *τῶν πολιτέων*, et M *πολίτ' ἄν*. Ac negat singularem numerum ferendum esse Bernhardy Paralipom. p. 52.

Fr. 24. Et. Gud. 57, 33: *Ἀνθηδών· ἡ μέλισσα παρὰ τὸ ἄνθη ἐνδεῖν*

25.

Ὁ τὸν κυσὸν τρωθεὶς
ᾔδεις, ὅπου μάλιστα τοῦ κράνους χρεία.

26.

Βαὺ βαὺ καὶ κυνὸς φωνὴν ἵεις.

27. 1049

Ἐγὼ μέν, ὦ Λεύκιππε, δεξιῇ σίττῃ.

28.

Κέρδαιν' ἑταῖρε καὶ θέρους καὶ χειμῶνος.

